# AEGYPTISCHE URKUNDEN

AUS DEN

# KOENIGLICHEN MUSEEN

ZU

# BERLIN

HERAUSGEGEBEN VON DER

GENERALVERWALTUNG

## GRIECHISCHE URKUNDEN

ZWEITER BAND

MIT ZWEI LICHTDRUCK-TAFELN

BERLIN
WEIDMANNSCHE BUCHHANDLUNG
1898

# Inhaltsverzeichnis.


| | Seite |
|---|---|
| Urkunden No. 362—696 | 1—352 |
| Berichtigungen und Nachträge zu Band I und II (vgl. S. 396) | 353—358 |
| Litteratur über die Papyri des I. und II. Bandes | 358 |
| Indices (von Fr. Krebs): | |
| I. Eigennamen | 359—370 |
| II. Kaiser | 370—372 |
| III. Consulate und Indictionen | 372 |
| IV. Beamte | 372—375 |
| V. Militärisches | 375 |
| VI. Götter, Priester, Feste, Christliches | 375—376 |
| VII. Geographisches | 376—379 |
| VIII. Abgaben und dergl. | 379 |
| IX. Monate und Tage | 380 |
| X. Maafse und Gewichte | 380 |
| XI. Münzen | 380 |
| XII. Wortindex: | |
| A. Griechische Wörter | 381—394 |
| B. Lateinische Wörter (von Gradenwitz und Krebs) | 394—396 |
| Nummern der Papyri in Band II | 397 |
| Urkundenverzeichnis für Band I und II (von U. Wilcken) | 398—399 |
| Zwei Lichtdrucktafeln (No. 628 Recto). | |

P 5079-5102)

Nº 362

Papyrus. Faijûm.

Publiciert und besprochen von Wilcken, Hermes XX 430 ff. (Arsinoitische Tempelrechnungen aus dem J. 215 n. Chr.) Vergl. Observationes ad hist. Aeg. p. 33 ff.

## Fragment I

P 5079

H. 17,5 cm. Br. 6 cm.

| | | |
|---|---|---|
| (1. H.) [Ἐλαίου εἰς λυχναψίαν ἐν] τῷ σηκῷ . | [ϙ] ϛ | |
| [. . Πράκτορι . . . . . ὑ]π(ὲρ) εἰδῶν κα ʃ τὰς λοιπ(ὰς) | ϙ κ | 212/3 n. Chr. |
| [Πράκτορι . . . . . ]υ ὑπ(ὲρ) εἰ[δ]ῶν κα ʃ | ϙ μ | 212/3 |
| [. . . . . . . . . . ]ας διὰ τῶν ἀπὸ Κερκεσή- | | |
| [φεως . . . . . . . . ] | ϙ η | |
| [Πράκτορι . . . . ὑπ(ὲρ) εἰδ]ῶν κβ ʃ ἐπισ(ήμου) | ϙ σ | 213/4 |
| [. . . . . . . . . . . ]ου ὑπ(ὲρ) κβ ʃ αἵ δια[γεγρ(αμμέναι) ἀ]πο | | |
| [. . . . . . . . . . . . ]. ιωϛ . . ην . . . | | |
| [. . . . . . . . . . . . ] | ϙ κ | |
| [. . . ἱερᾶς οὔσης ὑπὲρ τοῦ ἀνηγορεῦσ]θαι τὸν κύριον | | |
| [ἡμῶν Καίσαρα Μάρκον Αὐρήλιον] Ἀντωνῖνον | ϙ κδ | |
| [Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ ση]κῷ | ϙ τ | |
| [Καὶ ἐξωδιάσθησαν ὑπ' ἐμοῦ εἰ]ς ἐκδανισμὸν τῷ | | |
| [ὑπογεγρ(αμμένῳ) ὑπόχρεῳ] ἐπὶ ὑποθήκῃ τοῖς διὰ | | |
| [τῶν χρηματισμῶν ὑπά]ρχουσι | | |
| [. . . . . . . . . κ]αὶ ὡς χρημ(ατίζει) βουλ(ευτῇ) νομ(άρχῃ) | ϙ γ | |
| [λ/. Ὀψώνιον Νεμεσιανῷ ναοφ]ύλ(ακι) ὑπ(ὲρ) [τ]οῦ Χύακ | ϙ κη | 26 Dez. 214 |
| [Θεωνείνῳ ὁμοί(ως) ] | ϙ ι[θ] | |
| [Ξάνθῳ προαιρέτῃ βιβ]λιοθήκ(ης) ὁμοί(ως) | ϙ λ | |
| [Βοηθῷ γραμματεῖ] ὁμοί(ως) [ὑ]π(ὲρ) Χύακ | ϙ μ | Nov./Dez. |
| [Ἐπιτηρητῇ ὑπ(ὲρ) καταπομπῆ]ς μηνιαίου | ϙ ιβ | |
| [Ἔστι τοῦ ἀναλώματος] . . . | | |
| [Λοιπαὶ εἰς τὸν ἑξῆς μῆνα Τῦβι] . . . . | | Dez./Jan. |

16 vgl. Hartel PER p. 68.

## Fragment II

P 5080

H. 20 cm. Br. 3 cm.

Σε] ρήνου
ἀφ' ὧν
ς ρ
. δρο(μέως) ς μ
5 ἀφ' ὧν ] ὀφεί-
ς υ
σ ξ β

*Es folgen weitere unbedeutende Reste*

---

5 erg. ἀφ' ὧν] ὀφεί[λει]. Das Fragment behandelt Einnahmen des Tempels.

## Pagina I

P 5081

Aus 3 Fragmenten zusammengesetzt. H. 20,5 cm. Br. c. 13 cm.

[· · · · · · · · · . Στέψεως τῶν ἀνδρι]άντων ἐν τῷ
ἱερῷ — ϛ κδ
Ἐλαίου [εἰς λυ]χναψίαν ἐν τῷ [σηκῷ] — ϛ ϛ
ε̄ Καλάν[δαι]ς Ἐ[ί]ανουαρ[ί]αις [. . . . .] ḳεγγ — ϛ κδ — 1. Jan. 215
Ἐλαίου [εἰς] λυχναψία[ν ἐν τῷ σηκῷ] — ϛ ϛ
Ναῦλα [ὄν]ων γ̄ ὑπὸ δένδρα [καὶ βαῖς] — ϛ ιβ
Στροβεί[λω]ν καὶ ἀρωμάτων [καὶ ἄλλων] — ϛ ιβ
Ἀλείψε[ως χαλκο]υργη[μάτων π]ά[ντων τῶν ἐ]ν τῷ
ἱερ[ῷ, τ]ειμῆ[ς] κοτ[υλῶν . . ἐλαίου] — ϛ κη
Μισθ[ὸς χαλκουργῷ ἀλείψαντι τὰ χαλκουργήματα] — ϛ η
Καὶ ἐξωδι[άσθησαν ὑπ' ἐμοῦ εἰς ἐκδανισμὸν τ]ῇ ὑπο-
γεγρ(αμμένῃ) ὑπό[χρεῳ ἐπὶ ὑποθήκῃ τοῖς διὰ τῶν χ]ρη-
ματιστῶν (sic) [ὑπάρχουσι ἐπὶ τῷ συνήθει τόκῳ]
τριωβο[λείῳ ἀργυρικῷ ]
ζ̄ Θερμουθαρ[ίῳ τῇ καὶ Ἡρακλείᾳ . . . . . .] . — 2. Jan.
α. λοδ κ. [. . . . . . . . . .] ϛ χ
η̄ Ὑπὲρ μη[. . . . . . . . . . . . Στέψεως] — 3. Jan.
ὡς πρόκι[ται ] — ϛ κδ
Ἐλαίου κ. [. . . . . . . . . . . . . .] — ϛ η
Ναῦλα ὄ[νων τριῶν ὑπὸ δένδρα καὶ βαῖς] — ϛ ιβ
Στροβεί[λων καὶ ἀρωμάτων καὶ ἄλλων] — ϛ ιβ
θ̄ Πράκτορι Ἀ[λεξάνδρου νήσου . . . . . .] . . — 4. Jan.
Πράκ(τορι) στεφ[ανικῶν . . . . . . . . .] κ
Πράκ(τορι) β(αλανείου) Φιλ[αγρίδος . . . . . . .] κ
ια̅ Πράκ(τορι) κώ(μης) [. . . . . . . . . . . .] — 6. Jan.
ιβ̅ Πράκ(τορι) Τ[ρικωμίας . . . . . . . . . .] . — 7. Jan.

---

4 oder ḳεγλ? — 6 zu ὄνων ὑπὸ δένδρα vgl. Hermes XXVIII S. 163 A. 1. — 13 statt χρηματιστῶν l. χρηματισμῶν. Vgl. Pag. XV 4.

# Pagina II

P 5082

Aus 2 Fragmenten zusammengesetzt. H. 20 cm. Br. c. 13 cm.

[ . . . . . . . . . . . . . . ] ϛ ξδ
ιγ [. . . . . . . . . Στέψεως τῶν ἐν τῷ ἱερῷ] πάντω(ν) ϛ κδ 8 Jan. 215
[Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ] ϛ ϛ
[ . . . . . . . . . . . . . . ] ϛ η
Κε [ . . . . . . . . . . . . . . ] ϛ κδ 20 Jan.
Ἐλ[αίου εἰς λυχναψίαν ἐν τῷ σηκ]ῷ ϛ ϛ
Κϛ [ . . . . . . . . . . . . . ἐ]πιτροπ(. . .) 21 Jan.
[ . . . . . . . . . . . . . . ] ϛ κδ
Ἐλ[αίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ ] ϛ ϛ
λ Ὀψ[ώνιον Νεμεσιανῷ ναοφύλ(ακι) ὑπ(ὲρ) Τῦβι] ϛ κη 25 Jan.
Θε[ωνείνῳ ὁμοί(ως) ] ϛ ιθ
Ξάν[θῳ προαιρέτῃ βιβλιοθήκ(ης) ὁμοί(ως) ] ϛ λ
Βο[ηθῷ γραμματεῖ ὁμοί(ως) ] ϛ μ
Ἐπ[ιτηρητῇ ὑπ(ὲρ) καταπομπῆς μηνιαίου ] ϛ ιβ
[ Ἔσ(τι) τοῦ ἀναλώμ(ατος) . . . . . ]
Λ[οιπὰ εἰς τὸν ἑξῆς μῆνα Μεχεὶρ ϛ . .] Jan.–Febr.

(2. H.) Αὐ[ρήλιος Μ . . . . . ὁ καὶ Παήσιο]ς ἀρχ(ιερεὺς)
. [ . . . . . . . . . . . . . ]
L κγ Αὐτ[οκράτορος Καίσαρος Μάρκου Αὐρηλίου Σεουήρου Ἀντωνί]νου
Παρθικ[οῦ μεγίστου Βρεταννικοῦ μεγίστου Γερμανικοῦ μεγίστο]υ
Εὐ[σεβοῦς Εὐτυχοῦς Σεβαστοῦ . . . . . . . . . . . . ]

---

1 über Z. 1 unbedeutende Spuren vorhergehender Zeilen.

(P 5079-5102) (№ 362)[5]

## Pagina III

P 5083

Aus 2 Fragmenten zusammengesetzt. H. 20,5 cm. Br. c. 10 cm.

(3.H.) [Ἀναγραφ]αὶ δημοσίων λ[όγων]
[παρ' ἐ]μοῦ Αὐρηλίου Σερήνου το[ῦ καὶ Ἰσ]ιδώρου
[κοσμη]τ(οῦ) βουλ(ευτοῦ), αἱρεθέντος ὑπὸ τῆ[ς] κρατίστης
[βουλ(ῆς) εἰς] ἐπιμέλειαν τῶν προσηκόντων τῷ πα-
[ρ' ἡμεῖν θ]εῷ Διεὶ Καπιτωλίωι. Ἀκο[λ]ούθως τῷ ἐπισ-
[ταλέντι μ]οι ἐπιστάλματι, οὗ τὸ ἀντ[ίγ]ραφον ὑπέταξα,
[τῶν τε λημ]μάτων καὶ ἀναλωμάτων [τ]ῶν ἀπὸ Με-
[χεὶρ ἑκάστ]ης ἡμέρας ἀντελαβόμην ἕως Ἐπεὶφ 26 Jan.-24 Juli 215
[τοῦ διελ]ηλυθότ(ος) κγ ∫, μη(νῶν) ε̄ τῆς ἐμ[ῆς ἐ]πιμ(ελείας). Ἔστι δὲ·
[Τῶν μὲν ἀπαι]τηθέντων ὑπ' ἐμοῦ ἀπὸ τ[ό]κων ὀφειλο-
[μέν]ων τῷ θεῷ τῷ Μεχεὶρ μην[ὶ] Jan./Febr.
[Παρὰ . . .]ας τῆς καὶ Ματρώνας, διὰ Π[. . . . . .]
[. . . . .]μεως ἐπισ(ήμου) [ϡ . .]
[Παρὰ Ὀλυμπ]ιάδος Ἑλ[λ]ηνίδος, διὰ τοῦ υἱοῦ αὐτ[ῆς . . .]
[. . . . . τ]οῦ καὶ Κάπου ἀφήλ(ικος) διὰ τοῦ πατρὸ[ς . . .]
[. . . . .]νος ἐπισ(ήμου) [ϡ . . .]
[. . . Α]ὐρήλιοι Κρόνιος ὁ καὶ Σέρηνος [καὶ . . . .]
[. . ὁ καὶ Ἀγαθὸ]ς δαίμων ἐπισ(ήμου) [ϡ . . .]
[Καὶ αἱ κατ]αβληθεῖσαί μοι ὑπὸ Αὐρηλίου Μ[. . . .]
[. . τοῦ καὶ Πα]ησίου ἀρχ(ιερα)τ(εύσαντος) βουλ(ευτοῦ), τοῦ πρὸ ἐμοῦ γε[νομένου]
[ἐπιμελητ]οῦ, ἀφ' ὧν ἐλοιπογρ(άφησα) αὐτὸν, ἐπισ(ήμου) [ϡ . .]
[ γ/ ] Ἔσ(τι) λημ(μάτων) ϡ σνγ.
Ἐξ ὧν ἀναλώθ[ησαν·]
[Ᾱ. Ἱερᾶς οὔση]ς ὑπὲρ δεκετηρίδος καὶ κ[ρατήσε-] 26 Jan. 215
[ως τοῦ κυ]ρίου ἡμῶν Αὐτοκράτο(ρος) Σ[εουήρου]
[Ἀντων]ίνου, στέψεω[ς τῶν ἐν τῷ ἱερῷ]

---

4 durch die neue Lesung τῷ πα[ρ' ἡμεῖν θ]εῷ (ebenso V 5) statt τῷ πατρῴῳ ἡμεῖν θεῷ fallen die Bemerkungen im Hermes XX S. 462.

(P 5079–5102) (№ 362)[6]

## Pagina IV

P 5084

Aus 3 Fragmenten zusammengesetzt. H. 20,5 cm. Br. 13 cm.

[ἀγαλμάτων καὶ] ἀσπιδ[είων καὶ ἀνδριάντων]
πά[ντω]ν [∠ . .]
Ἐλαίου [ε]ἰς λυχναψίαν ∠ δ
ι̅ Εἰς διαγρ(αφὴν) δημοσίων τελεσμάτ[ω]ν κ[β] ς κώμης 4 Febr. 215 213/4.
Πτολεμαΐδος Δρυμ(οῦ) ἐπισ(ήμου) ∠ μ
ι̅θ̅ Ἱερᾶς οὔ[σ]ης ὑπὲρ κρατήσεως θεοῦ Σεουήρου 13 Febr.
πατρ[ὸ]ς τοῦ κυρίου ἡμῶν Αὐτ[ο]κ[ρ]άτορος
Σεουή[ρο]υ Ἀντωνίνου, στέψεως τ[ῶν ἐ]ν τῷ
ἱερῷ [π]άντων ∠ ι ς
Ἐλαίου [ε]ἰς [λ]υχναψίαν ἐν τῷ σηκῷ ∠ δ
[Κ̅]ε̅ Ἱερᾶς οὔσ[ης] ὑπὲρ σωτηριῶν καὶ αἰω[νίου] 19 Febr.
διαμο[νῆ]ς τοῦ κυρίου ἡμῶν Αὐτοκρά[τορος]
Σεουή[ρου Ἀ]ντωνίνου, στέψεως τ[ῶν ἐν τῷ]
[ἱερῷ] πάντων ὁμοί(ως) [∠ . .]
[Ἐλαίου εἰς λ]υχναψία[ν] ἐν τῷ σηκῷ [∠ . .]
[λ̅ Νεμεσιαν]ῷ ναοφύλ(ακι) ὀψώ(νιον) ὑπ(ὲρ) Μεχεὶρ [∠ κη] 24 Febr.
[Θεωνείν]ῳ ὁμοί(ως) ὑπ(ὲρ) τοῦ Μεχεὶρ [∠ ιθ]
[Ξάνθῳ πρ]οαιρέτῃ βιβλιοθήκ(ης) ὁμ(οίως) [∠ λ]
[Βοηθῷ γρ](αμματεῖ) [∠ μ]
[Ἐπιτηρητ]ῇ ὑπὲρ καταπομπῆς μηνι[αίου ∠ ιβ]
[γ/] Ἔσ(τι) τοῦ ἀναλώμ(ατος) ∠ σ[κθ]
[Λοιπαὶ εἰς τ]ὸν ἑξῆς μῆνα Φαμ(ενὼθ) ∠ κ[δ]
[Ἔ]στι δὲ τοῦ ἐπιστάλματος τὸ ἀ[ντίγραφον τόδε·]

---

5 Δρυμ(οῦ) ergänzt nach Mahaffy, Flind. Petr. Pap. II [140].

## Pagina V

P 5085

Aus vier Fragmenten zusammengesetzt. H. 20 cm. Br. 13 cm.

Ἀ[γαθῇ τύχῃ. Θεοὶ] σ[ωτ]ήριοι. [Οἱ τῆς λαμπροτάτης πόλ-]
εως [τῶν Ἀρσιν]οϊ[τ]ῶν ἄ[ρ]χ[ο]ντες βουλῆ[ς Αὐρηλίῳ]
Σ[ερήνῳ τ]ῷ καὶ Ἰσιδώρῳ κοσμ(ητῇ) βου[λ(ευτῇ) τῷ] φιλ-
τά[τῳ] χα[ίρ]ειν.
Εἰς ἐπιμ[έλεια]ν τῶν προσηκόντων τῷ πα[ρ'] ἡμεῖν
θεῷ Διεὶ Κα[πι]τωλίῳ εἱλάμεθα σέ. Ἵν' οὖν [ε]ἰδῇς,
φίλτατε, κα[ὶ] μετὰ πάσης πίστεως καὶ ἐ[π]ιμελεί-
ας ἔχῃ τ[ῶν ἐ]νκεχειρισμένων, πρὸ ὀφθαλμῶν
θέμενος [τ]ὰ κελευσθέντα ὑπὸ Αὐρη[λίου] Ἰταλικοῦ,
τοῦ κρατίστ[ο]υ ἐπιτρόπου τῶν οὐσιακῶ[ν] διαδεχομ(ένου)
[τὴ]ν ἀρχιερ[ωσ]ύνην, ἐπιστέλλομεν σοί.
Ἐρρῶσθαί σε εὐχόμεθα . . . .
Διὰ Αὐρη[λίου Ἡρακ]λείδου τοῦ καὶ Ἀγαθοῦ δαί[μονος ἀρ-]
χιερατεύσ[αν]τος, ἐνάρχου πρυτάνεως [. . . . .]
L κγ// Α[ὐ]τ[οκρ]άτορος Καίσαρος Μάρκου Αὐρηλ[ίου]
Σεουήρου [Ἀντ]ωνίνου Παρθικοῦ μεγίστου [Βριταννικοῦ]
μεγί[στου Γερμα]νικοῦ μεγίστου Εὐσεβοῦς [Εὐτυχοῦς Σεβ(αστοῦ)]
Τῦβι [ ? ] Dez./Jan. 214/15
Φαμεν[ὼθ] ὁμοίως. Febr./März
[Τ]ῶν μὲν [ἀπαιτηθ]έντων ὑπ' ἐμοῦ·
[Πα]ρὰ Σαρα[πίωνο]ς υἱοῦ Εὐπόρου κ[οσ]μ(ητοῦ) μισθ[ωτοῦ ? . . . .]
[. . . . . . .]πηλίου λεγομ(ένου) περὶ κώμη[ν . . . . .]
[. . . καὶ Πυρ]ρείαν καὶ Τρικωμίαν [. . . . . . . .]
[. . ἐπισ(ήμου)] [ α . . ]
[. . . . . . . . . .] . . ι ὑπὸ Αὐρηλίου Σε[ρήνου . . ]

---

5 vgl. Anmerkung zu III 4. — 10 zu der Auflösung διαδεχομ(ένου) statt διαδεχομ(ένῳ) vgl. Hermes XXIII S. 592.

## Pagina VI

P 5087

Aus 4 Fragmenten zusammengesetzt. H. 20 cm. Br. 12 cm.

[. . . . . . . . . . .] . ιων γα̣[. . . . . . . . .
Ὁμ[οίως παρὰ το]ῦ αὐτοῦ ἀπὸ τειμῆς σι[δήρου ἀπο-]
λυθέν[τος . .] . . . φ . . ι ἀπὸ τοῦ κατασκε[υασθέντος]
χαμο[υλκο]ῦ εἰς ὑπηρεσίαν τοῦ ἀναστ[αθ]έντος
θείου κ[ολοσσ]ιαίου ἀνδριάντος τοῦ κυρ[ίου ἡ]μῶν
Αὐτοκρά[τορ]ος Σεουήρου Ἀντωνίνου, ὁλ(κῆς) μνῶν
νβ, ὡς τ(ῆς) [μ]ν̣ᾶς 𐅵 ε αἱ συναγό(μεναι) 𐅵 σξ
/ [Ἔσ(τι) λ]ημ(μάτων) 𐅵 αχε
Καὶ ἐγλόγου τοῦ μηνὸς ἐλοιπογρ(άφησα) [𐅵 κ]δ
/ Ἔσ(τι) σὺν καὶ τῇ ἐγλ(όγῳ) 𐅵 αχκ[θ].
Ἐξ ὧν ἀναλώθη·
[. . Εἰς δ]ιαγρ(αφὴν) τελ[εσ]μάτων κβ ς τῶν ὑπογεγρ(αμμένων) [κωμῶν·] 213/4
Ἀλεξάνδρου [ν]ήσου ἐπισ(ήμου) [𐅵 . .]
Πτολεμαΐδος Δρυμ(οῦ) ὁμοί(ως) [𐅵 . .]
ε̄ Τρικωμίας ὁμοί(ως) [𐅵 . .] 1 März 215
ϛ̄ Εἰς διαγρ(αφὴν) [στε]φανικῶν κβ ς κώμης [Κερ-] 2 März. 213/4
κεσή[φ]εως [𐅵 . .]
Εἰς διαγρ(αφὴν) τ[ε]λ[εσ]μάτων κώ(μης) Πυρρείας [𐅵 . .]
Στεφανι[κῶν] τῆς αὐτῆς [𐅵 . .]
Εἰς διαγρ(αφὴν) τ[ελ(εσμάτων)] βαλανείου κώμ(ης) Φιλαγρί[δος 𐅵 . .]
[. . Εἰς] διαγρ(αφὴν) στεφανικῶν κβ ς Πυρρείας ἄ[λλαι 𐅵 . .] 213/4
[. . Καὶ εἰ]ς ἐπ[ιμέ]λ[ε]ι[α]ν τοῦ πατρῴου ἡμ[ῶν θεοῦ]
[κροκοδείλ?]ωπος Σούχου Μεγάλου Μ[εγάλου,]
[στέψεως τῶν] ἐν [τ]ῷ̣ ἱερῷ ἀσπι[δείων καὶ ἀνδρι-]
[άντων καὶ ἀγαλμάτων πάν]τ(ων) [𐅵 . .]

---

7 zu ὡς τῆς μνᾶς vgl. Wessely, Mitth. PER V S. 134.

## Pagina VII

P 5086

Aus 5 Fragmenten zusammengesetzt. H. 20 cm. Br. 13 cm.

[Ἐλαίου εἰς λυχνα]ψίαν ἐν τ[ῷ σηκῷ ϛ . . ]
Ναῦ[λον ὄνο]υ ἑνὸς ὑπὸ δένδρα καὶ [βαῖς] ϛ δ
ιη Ἱερᾶς [οὔσ]ης καὶ θεωρίας ὑπὲρ ἀνα[στάσεω]ς 14 März 215
ἀνδ[ρ]ι[ά]ντος τοῦ κυρίου ἡμῶν Α[ὐτ]οκράτορος
Σεουήρου Ἀντωνίνου, στέψεως [τῶ]ν ἐν
τῷ ἱερῷ πάντων ὡς πρόκ(ιται) ϛ ιϛ
Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ ϛ δ
κ̄. Ἐπιδημήσαντος τοῦ λαμπροτάτου ἡγεμόνος 16 März
Σεπτιμίου Ἡρακλείτου, στέψεως τῶν
ἐν τῷ ἱερῷ πάντων ὡς πρόκιτ[α]ι ϛ κδ
Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ ϛ ϛ
Στροβείλων [κ]αὶ ἀρωμάτων καὶ ἄλλων [ϛ ιβ]
Ναῦλα ὄνω[ν] β̄ ὑπὸ δένδρα καὶ βαῖς [ϛ η]
Ἀλείψεως τῶν ἐν τῷ ἱερῷ ἀνδριάντων
πάντων ἐλαίου ϛ κ
Μισθὸς χα[λκο]υργῷ ἀλείψαντι τοὺς ἀνδριάντ(ας) ϛ δ
Ἐργάταις κ[ωμά]σασι τὸ ξόανον τοῦ θεοῦ πρὸς [ἀ-]
πάντη[σιν τοῦ] ἡγεμόνος ϛ λβ
Στεφάνω[ν τῷ] αὐτῷ ξοάνῳ ϛ δ
Ῥήτορι ε[ἰπόν]τι ἐπὶ τοῦ λαμπροτάτου [ἡ]γε-
μόνος [Σεπ]τιμίου Ἡρακλείτου ἕνεκ[α τῆ]ς
ἐπιμερισ[θ]είσης τοῖς ὑπάρχουσι τοῦ θ[εοῦ]
[Ν]είκης [κ]αὶ ἄλλων ϛ ξ
[. . Ἐπιδημήσαν]τος τοῦ κρατίστου ἐπ[ιτρόπου]
[τῶν οὐσιακῶ]ν Αὐρηλίου Ἰταλικοῦ [διαδεχομ(ένου)]
[τὴν ἀρχιερωσύν]ην, στέψεω[ς τῶν ἐν τῷ]
[ἱερῷ πάντων ϛ . . ]

---

23 zu der neuen Lesung [Ν]είκης statt [. .]ειθης vgl. Hermes XX 469. — 25 zur Ergänzung διαδεχομένου κτλ vgl. Hermes XXIII 592.

## Pagina VIII

P 5088

Aus 5 Fragmenten zusammengesetzt. H. 20,5 cm. Br. 12 cm.

[Ἐλαίου εἰς λυχναψ]ίαν [ἐν τῷ σηκῷ ∽ . . ]
Καὶ ἀν[αλώθησα]ν εἰς ἐπι[σι]τικὸν [. . . . . . . .] τοῦ
πεσό(ντος). [. . .]ς πρ[ὸ]ς τῷ ἱερῷ τοῦ θεοῦ μ[. . . . .] οἰ-
κοδόμ(οις) γ̄ κατασπῶσι καὶ ἀνοικοδομ(οῦσι) ὡς τ(οῦ) α̅
ἑξ ∸ ιη ∽ ζ ⳨
Ὁμοίως παιδία ε̅ ὑπουργοῦσι τοῖς αὐ-
τοῖς οἰκοδόμ(οις) ὡς τ(οῦ) α̅ ∸ ι ∽ η =
Μισθὸς πηλοποιῷ ∽ β
Τειμ(ῆς) πλίν[θ]ου ὠμῆς σὺν παραγωγῇ μετὰ τὰς
ἐκβεβηκυίας ἐκ τοῦ κατασποῦ ∽ ιβ
λ. Ὀψώνιον Νεμεσιανῷ ναοφύλ(ακι) ὑπ(ὲρ) Φαμ(ενὼθ) ∽ κη — 26 März 215
Θεωνείνῳ ὁμοίως [∽ ιϑ]
[Ξ]άνθῳ π[ρ]οαιρέτῃ βιβλ(ιοθήκης) ὁμοί(ως) [∽ λ]
Βοηθῷ γραμματεῖ ὁμοί(ως) ∽ [μ]
Ἐπιτηρητῇ ὑπ(ὲρ) καταπομπῆς μηνιαί[ου] ∽ ιβ
/ Ἔσ(τι) τοῦ ἀναλώμ(ατος) ∽ ψλβ [⳨
Λοιπ(αὶ) εἰς [τὸν] ἑξῆς μῆνα Φαρμ(οῦθι) ∽ ω[ϙ]ϛ ∸
Φαρμοῦθι ὁμοίως. — März/April
Τῶν μὲν [ἀ]παιτηθέντων ὑπ' ἐμ(οῦ) ἀπὸ μὲ[ν τό]κ(ων)·
Λουκίου Αὐρηλίου Ἀφροδεισίου τοῦ καὶ Σ[ύ]ρου
ἀγορανόμ(ου) διὰ τῶν θυγατέρων Αὐ[ρηλ]ίας
Ἡραΐδος τῆς καὶ Κοπρίας καὶ Λουκ[ίας] τῆς
[Κ]αὶ Σύρας, κοινῶς ἐξ ἴσου, ἐπισ(ήμου) [∽ . . ]
Ὥρου Ἀπο[λ]λωνίου διὰ Χαρμίωνο[ς . . . . . .]
[. . . . . . .]θάσιος καὶ Μύ[σ]θ[η]ς Ἁρ[ποκρατί]-
[ωνος . . . .]μ(. . .) . . . ν ὀφειλ(. . .) [. . . . . . .]

---

4 l. ὡς τ(οῦ) (ἑνός). Vgl. Anmerk. zu VI 7. — 5 l. ἑξοβόλους ιη. Am Schluß l. Drach. 7, Obol. 4. — 7 l. ὀβολοὺς (scil. ἑξοβόλους) ι. Am Schluß l. Drachm. 8, Obol. 2. — 16 l. Drachm. 732, Chalk. 2.

# Pagina IX

P 5089 a

Aus 11 Fragmenten zusammengesetzt. H. 20 cm. Br. 36 cm.

[. .]ε[. . . . . . .]σ[. . . . .]ι . . υ ἐπισ(ήμου) ∠ . .
Τιβ(έριος) Κ[. . . Νι]κάνορος διὰ [Θ]ειώνος μι[σθ]ωτ̣(οῦ) ἀπο-
φο(ρᾶς) βα[λα]νείου κώμ(ης) Φιλαγρίδος, ὑπ[ὲρ] μὲν κβ ς 213/4
∠ ρ, καὶ ὑπ(ὲρ) τοῦ ἐνεστῶτ(ος) κγ ς ᾱ ἑξα[μ]ήνου, 214/5
ἐπισ(ήμου) ∠ ξ / ρξ
Πτολλοῦς θυγάτ(ηρ) Διδύμου Κ̣όρακος κεκ[ο]σμ(ητευκότος), διὰ
Διοδώ[ρ]ου ἐνοίκ(ου) οἰκί(ας) ἐπ' ἀμφόδ(ου) Ἀπολλω(νίου)
Παρεμβολ(ῆς), ἐπισ(ήμου) ∠ ϊ
Κ[αὶ] ἀπὸ χρεολ[υ]τήσεως δανείων·
[Δ]ημητρίου ἐξηγητεύσαντος τῆς Ἀ[λεξανδρ]-
έων π[ό]λεως, ἀφ' ὧν ἐδανείσα[το ἐπὶ ὑ̣-]
παλλαγῆ̣ ἔτι πάλαι ὑπάρχουσι αὐτοῦ κε[φ]αλ(αίου)
ϛ β ∠ β' ἐπισ(ήμου) ϛ α
Τόκου ἕω[ς] τοῦ διεληλυθότος μη(νὸς) Φαμ(ενὼθ) ∠ σι
Ὀλυμπιάδ[ος] Ἑλληνίδος θυγατ(ρὸς) Διδύ[μ]ου
Σαραπίω[νο]ς, ἃς ἐδανείσατο ἔτι ἀπὸ τοῦ . .
Ἀθὺρ ἐπ[ὶ] ὑπαλλαγῆ οἰκίας, διὰ Α[. . . . .] . . .
Πτολεμα[ίο]υ υἱοῦ Ἡρωνείνου γυμ[να]σιάρχ(ου)
καὶ Κοπρῆ Ἁρποκρατίωνος τοῦ κ[αὶ Δι]δύ-
μου ἀγορ[α]στῶν τῆς αὐτῆς οἰκία[ς] ∠ γ´
[Τό]κου ἕως τοῦ διεληλυθότος μη(νὸς) Φα[με-]
νὼθ αἱ λοιπ(αὶ) [∠ λ]
[/ Ἔσ(τι) λημ(μάτων) ϛ β ∠ β'ρ
[Καὶ ἐγλόγου τοῦ μηνὸς ἐλοιπογρ(άφησα) ∠ ωϙτ ∸]

---

4 der Schreiber, der aus Versehen die Bemerkung τοῦ ἐνεστῶτος versäumt und sogleich hinter ὑπ(ὲρ) die Jahreszahl gesetzt hatte, löschte dieselbe wieder z. Th. aus und setzte mit scharfem Zuge in das κ das τ hinein. – l. πρώτης ἑξαμήνου. – 10 die Reste hinter Α passen zu einem λ. Auch εξ passt zu den folgenden Spuren. – 14 hinter σι vielleicht noch eine Zahl. – 19 καὶ Κοπρῆ heute kaum sichtbar.

# Pagina X

P 5089 b

Ἔσ(τι) [σὺν καὶ τῇ ἐγλόγῳ ϛ β ϡ β´ π ϙ ϛ ÷]
[Ἐξ ὧν ἀ]ναλ(ώθησαν)

Ε̄ Ἱερ[ᾶς ο]ὔσης ὑπὲρ ν[είκ]ης καὶ σ[ωτ]ηριῶν [τ]οῦ — 31 März 215
κυρίου ἡμῶν Αὐτοκράτορος Σεουήρου
Ἀντωνίνου, στέψεως τῶν [ἐ]ν τῷ ἱερῷ
ἀσπιδείων καὶ ἀνδριάντων καὶ ἀγαλμάτων
πάν[τ]ων ϡ ιϛ
Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ [ϡ] δ
Θ̄ Γενεθλίων τοῦ κυρίου ἡμῶν Αὐ[το]κράτορ[ος] — 4 April
Σεουήρου Ἀντωνίνου, στέψεως [τ]ῶν ἐν [τῷ]
ἱερῷ πάντων ὡς πρόκ(ειται) [ϡ] κδ
Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ ση[κῷ ϡ ϛ]
Στροβείλ[ων] καὶ ἀρωμάτων καὶ λι[βανωτοῦ ϡ . .]
Ναῦλ(α) ὄνων ὑπὸ δένδρα καὶ βαΐς ϡ [. .]
Ἀλείψεω[ς] τῶν ἐν τῷ ἱερῷ ἀνδριάντων πά[ντων]
ἐλαίου ϡ κ
Μισθὸς χαλκουργῷ ἀλείψαντι τοὺ[ς] ἀνδριάντ(ας) ϡ δ
Ἐργάταις [κ]ωμάσασι τὸ ξόανον ἐν τ[ῷ] θεάτ(ρῳ) ϡ ιϛ
Στεφάνων αὐτῷ τῷ ξοάνῳ ϡ δ
Καὶ εἰς διαγρ(αφὴν) δημ(οσίων) τελεσμάτων κβ ς τῶν [ἑξ]ῆς κω(μῶν)· — 213/4
Πτολεμαΐδος Δρυμ(οῦ) ὁ(μοίως) ϡ κ
Τρικωμίας ὁ(μοίως) ϡ μ
[Ἀλ]εξάνδ(ρου) νήσου ὁμοί(ως) [ϡ . .]
[το]ῦ βα[λανεί]ου κώμης Φιλαγρίδ[ος ϡ . .]
[. . . . . . .]
[. . Καὶ εἰς διαγρ(αφὴν) τελ(εσμάτων) κώμη]ς Πυ[ρρείας ϡ ]

## Pagina XI

P 5089 c

[Κερ]κεσήφ[εως ὁμοίως] 𐅵 . [.]

[Τρι]κωμί[ας] ὁμοί(ως) 𐅵 ιβ

ιγ [κα]ὶ ιδ, ἱερῶν οὐσῶν [ὑπ(ὲρ)] σωτηριῶν 8 u. 9 April 215

καὶ κρατήσεως τοῦ κυρίο[υ] ἡμῶν Αὐτοκράτορος

Σεουήρου Ἀντωνίνου, στ[έ]ψεως τῶν

ἐν τῷ ἱερῷ πάντων ὡς πρόκ(ειται) 𐅵 ιϛ

Ἐλα[ί]ου εἰς λυχναψίαν ἐν τῷ σηκῷ 𐅵 δ

ιϛ Γεν[ε]θλίων θεοῦ Σεουήρου πατρὸς τοῦ κυ[ρί]ου 11 April

ἡμῶν Αὐτοκράτορος Σεουήρου Ἀν[των]ίνου,

στέψεως τῶν ἐν τῷ ἱερῷ [π]άν[των] 𐅵 κ

Ἐλαίο[υ] εἰς λυχναψίαν ἐν τῷ [σηκῷ 𐅵] ϛ

Στροβείλων καὶ ἀρωμάτων κ[αὶ ἄλλων 𐅵 ιβ]

Ἐργά[ταις] κωμάσασι τὸ ξόανον [ἐ]ν τ[ῷ θεάτ(ρῳ) 𐅵 ιϛ]

Στεφά[νων αὐτῷ τῷ ξοάνῳ [𐅵 δ]

ιθ ἱερᾶς οὔσης ὑπὲρ τοῦ ἀνηγ[ο]ρ[ε]ῦσθαι τὴν 14 April

κυ[ρί]αν ἡμῶν Ἰουλίαν Δόμναν μητέρ[α]

τῶ[ν] ἀητ'τήτων στρατοπέ[δ]ων, στέψε[ως]

τῶ[ν] ἐν τῷ ἱερῷ πάντων ὡς πρόκ(ιται) [𐅵 . .]

Ἐλαίου ε[ἰ]ς λυχναψίαν [𐅵 . .]

Καὶ ἐξωδιάσθησαν εἰς ἐκδαν[ι]σμὸν τοῖς ὑ[πο-]

γεγραμμένοις ὑποχρέοις ἐπὶ ὑπαλλαγ[ῇ]

τ[ο]ῖς διὰ τῶν χρηματισ[μῶν] ὑπάρχ[ουσι]

αὐτοῖς, ἐπὶ τῷ συνήθει [τόκῳ] τριωβ[ο-]

λ[εί]ῳ ἀργυρικῷ, ἀκο[λούθως τοῖς ἐπιστα-]

[λεῖσί μοι] ὑπὸ τῆς κρατί[στης βουλῆς]

[διὰ . . . . . . . . . . . . ]

---

21 ἐπὶ heute unsichtbar, ebenso ϋ in 22, desgl. τριωβ in 23.

Pagina XII

P 5090

Aus 4 Fragmenten zusammengesetzt. H. 20 cm. Br. 12 cm.

[ἐν]άρ[χ(ου) πρυτάνεως γνωμη]εις[ηγητοῦ]
κ[αὶ] ἐπι[ψη]φισ[τοῦ]
Αὐρηλ[ί]ῳ Διογένει ἐν[άρχῳ ἀρ]χιερεῖ, ἀργ(υρίου) ϛ α
Παάτι ἀπάτορι μητρὸς Ἀ[πολλω]νοῦτος, μετ' ἐγ-
γύου Αὐρηλίου Χαιρήμονος ἀρχιερατεύσαντ(ος)
βουλ(ευτοῦ), πατρὸς Αὐρηλίου Ḳάλανος ἐνάρχου
κοσμητοῦ 𐅵 γ'
Κϛ Γενεθλίων Ῥώμης, στέψεως τῶν ἐν τῷ 21 April
ἱερῷ πάντων ὡς πρόκ(ιται) 𐅵 ιϛ
Ἐλαίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ 𐅵 δ
λ Ὀψώνιον Νεμεσιανῷ ναοφύλ(ακι) [ὑπ(ὲρ) Φα]ρμ(οῦθι) 𐅵 κη 25 April
Θεωνείνῳ ὁμοίως 𐅵 ιθ
Ξάνθῳ προαιρέτῃ βι[βλιοθήκ(ης) ὁμοίως 𐅵] λ
Βοηθῷ γραμματεῖ ὁμοί(ως) 𐅵 μ
[Ἐ]πιτηρητῇ ὑπ(ὲρ) καταπομπῆς μην[ι]αίο(υ) 𐅵 ιβ
[Στ]έψεως Σαραπείων 𐅵 κ
[Ἐλ]αίου εἰς λυχναψίαν ἐν τῷ σηκῷ 𐅵 η
[Στρο]βείλων καὶ λιβαν[ωτοῦ] 𐅵 δ
[Ν]αῦλον ὄνου ὑπὸ δένδρα καὶ βαὶς 𐅵 δ
Ἔσ(τι) τοῦ ἀναλώμ(ατος) ϛ α 𐅵 γ'φνγ
Λοιπ(αὶ) εἰς τὸν ἑξ(ῆς) μῆνα Παχὼ(ν) 𐅵 ἑ[υ]μγ
[Πα]χὼν ὁμοίως. April/Mai
[Τῶν μ]ὲν ἀπαι[τ]ηθέντων ὑ[π' ἐμοῦ ἀπὸ μὲν τό-]
[κων ὀφ]ει[λο]μένων τῷ θε[ῷ τῷ Παχὼν μηνί·]
[. . . . . . .]σ[. . . . . . . . . . . . .]

---

4 μετ' ἐγγύου (nicht μετεγγύου) nach Analogie von μετὰ κυρίου.

Pagina XIII

P 5091

Aus 3 Fragmenten zusammengesetzt. H. 21 cm. Br. 14 cm.

[Ἀ]μμώ[νιος . . . . . . . . . ] 𐆄 μ[ ]
Αὐρήλιος Δεῖ[ος . . . . . ἐ]ξηγητ(ὴς)
ἀφ᾽ ὧν ὀφείλε[ι τόκων] ἄλλας ἐπι[σ(ήμου)] 𐆄 πβϛ
Ζώσιμος Διον[υσ]ίου ἀγορανόμ(ος) διὰ Φαμ[.]λη
ἐνοίκ(ου) συν[οι]κ(ίας) ἐπ᾽ ἀμφόδ(ου) Θεσμ(οφορίου), α̅ ἑξαμή-
νου τοῦ [δι]ελ(ηλυθότος) 𐆄 ιϛf
Σαραπίας Πτολεμαίου τοῦ Θεογείτονος διὰ Αὐρη-
λίου Τιβερίου ἐπισ(ήμου) 𐆄 ξ
Ἰσίδωρος Θέωνο[ς] τοῦ Θέωνος ἐπισ(ήμου) 𐆄 σ
/ τ[ο]ύτων 𐆄 υϙθ
Καὶ ἐγλόγου τοῦ αὐ[τοῦ] μην[ὸς ἐλο]ιπογρ(άφησα) 𐆄 ͵ευμγ ÷
/ Ἔσ(τι) [σὺν καὶ τῇ ἐγλ(όγῳ) 𐆄] ͵εϡμβ ÷
[Ἐξ ὧν ἀναλώθησαν]
Εἰς διαγρ(αφὴν) δημοσίων [τελεσμάτων κβϛ τῶν ὑ]πογεγρ(αμμένων) κω(μῶν)· 213/4
Ἀλεξάνδ(ρου) νήσου [ἐπισ(ήμου)] 𐆄 μ
Πυρρείας [ὁμοίως] 𐆄 κ
Πτολεμαΐδος Δρ[υμ(οῦ) ὁμοίως] 𐆄 κ
Τρι[κ]ω[μ]ίας [ὁμοίως] 𐆄 κ
ι̅ Πυρρείας ἄλλαι [ἐπισ(ήμου)] 𐆄 κ 5 Mai 215
Τρικωμίας ὁμο[ί(ως)] 𐆄 κ
ι̅η̅ Ἀναβολῆς διωρύ[γων . . . . . πρὸς] 13 Mai
τῷ ἱερῷ ἐφ᾽ ὧ[ν . . . . . . . . . . ]ς
ἔργοις Διοσκόρ[ου . . . . . . . . . ]β 𐆄 ξθf
λ̅ Ὀψ[ώ]νιον Νεμεσια[νῷ ναοφύ(λακι) ὑπ(ὲρ) Παχὼν] 𐆄 κη 25 Mai
[Θε]ων[είνῳ ὁμοίως 𐆄 ιθ]

7 τονος corrig. aus νονος.

## Pagina XIV

P 5092

*Aus 3 Fragmenten zusammengesetzt.* H. 20 cm. Br. 12,5 cm.

[Ξάνθῳ προ]αιρ[έτῃ βιβλιοθήκ(ης) ὁμοίως ϥ λ]
[Βοηθῷ γ]ραμματ[εῖ ὁμοίως] ϥ [μ]
Ἐπ[ιτηρ]ητῇ ὑπὲρ κα[τ]απομπῆς μη(νιαίου) ϥ ι[β]
/ Ἔσ(τι) τοῦ ἀναλώ[μ(ατος)] ϥ τλη𐅵
Λοιπ(αὶ) εἰς τὸν ἑξῆς μῆνα Παοῖ(νι) ϥ ἑχγ𐅵
Παοῖνι ὁμοίως· Mai/Juni
Ἀπὸ μὲ[ν] τόκων ὀφειλομένων τῷ θεῷ·
Λούκιος Αὐρήλιος Ἀφροδείσιος ὁ καὶ Σύρος ἀγορανόμ(ος) διὰ
τῆς θυγ(ατρὸς) Αὐρηλίας Ἡραΐδος τῆς καὶ Κοπρέας, διὰ
Αὐρηλίου Κ[αλλ]ιμάχου Παραδόξου ἄλλαι ἐπισ(ήμου) ϥ ά
Θερ[μουθάριον ἡ καὶ Ἡρ]ακλεία Σελεύκου διὰ Διο-
γ[ένους . . . . . ] ἐ[πι]σ(ήμου) ϥ φ[μ]
Ἀρτε[μιδώρα . . . . . . διὰ . . .] τῶν ἐνοίκ(ων) ϥ ρ
Ἀμμ[ωνίλλα . . . . . . διὰ Μα]τρώνας ἐκ Πτο(λεμαΐδος)
ὅ[ρμου . . . .] ϥ κ
[/ Ἔσ(τι) λημ(μάτων) ϥ ά]χξ
Καὶ ἐγλ[όγου τοῦ μηνὸς ἐλοιπ]ογρ(άφησα) ϥ ἑχγ𐅵
/ Ἔσ(τι) σὺν καὶ τῇ ἐγλ(όγῳ) ϛ α ϥ ἀσξγ𐅵
[Ἐξ ὧν ἀνα]λώθησαν·
Θ̅ Εἰς δι[αγρ(αφὴν) δημοσίων τελεσμάτων κβ]𐅵 τῶν ἑξῆς κω(μῶν)· 3 Juni 215
Ἀλεξ[άνδρου νήσου ἐπισ(ήμου)] ϥ μ
Π[υρρείας ὁμοίως] ϥ κ
[. . . . . ὁμοίως] ϥ ξ

Pagina XV

P 5093

*Aus 3 Fragmenten zusammengesetzt. H. 20 cm. Br. 13 cm.*

[· · · · · · ·]· · ·[· · · · · · · ·

Καὶ ἐξ[ωδιάσ]θησαν ὑπ' ἐμο[ῦ] ε[ἰς ἐκδανισμὸν] τῷ ὑ[πογε]γρ(αμμένῳ) ὑπόχρεῳ ἐπὶ [ὑπαλλαγῇ το]ῖς διὰ τῶν χρηματισμῶν ὑπάρχ[ουσ]ι, [ἐπ]ὶ τῷ συνήθει τόκῳ τριωβολείῳ ἀργυρι[κῷ, ἀ]κολούθως τοῖς ἐπισταλεῖσί μοι ὑπὸ τ[ῆς] κρατίστης βουλῆς διὰ Αὐρηλίου Ἁρποκρατίωνος γυμ(νασιάρχου) ἐνάρχ[ου] πρυτάνεως γ[ν]ωμηεισηγητοῦ καὶ ἐπιψηφιστοῦ·

Αὐρηλίῳ Σερήνῳ γενομ(ένῳ) ἀντεξηγη(τῇ) ἀργ(υρίου) κεφάλ(αιον) ϛ α
[.. Εἰς . . . .]. ισμὸν Νειλαίων, στέψε[ω]ς [τῶν ἐν τῷ]
[ἱερῷ] ἀνδριάντων καὶ ἀσπ[ι]δεί[ων καὶ ἀγαλ-]
[μάτων πά]ντων [𐅵 · ·]
[Ἐργάταις κω]μάσασι τὸ ξόα[νον] . . . . [· · 𐅵 ·]
[Στεφάνων] αὐτῷ τῷ ξοάνῳ [𐅵 · ·]
[λ̄ Ὀψώνιον Νε]μεσιανῷ ναοφύλ(ακι) ὑ(πὲρ) Π[αοῖνι 𐅵 κη] 24 Juni 215
[Θεωνείνῳ] ὁμοίως [𐅵 ιθ]
[Ξάνθῳ προαι]ρέτῃ βιβλιοθήκ(ης) [𐅵 λ]
[Βοηθῷ γρ(αμματεῖ)] [𐅵 μ]
[Ἐπιτηρητῇ ὑ]π(ὲρ) καταπομπῆς μη(νιαίου) [𐅵 ιβ]
[𐅵] Ἔσ(τι) τοῦ ἀναλώ(ματος) ἀργ(υρίου) ϛ α ς [. . .]
[Λοιπ(αὶ) εἰς τὸ]ν ἑξ(ῆς) μῆ(να) Ἐπεὶφ 𐅵 φ[· ·]
[Ἐπεὶφ ὁ(μοίως)]
[Ἀπὸ μὲν τόκων ὀφειλο]μ(ένων) [τ]ῷ θε[ῷ τῷ Ἐπεὶφ μηνί·]

---

11 *vor* ισμον *Spuren eines* γ *oder* τ.

Pagina XVI

P 5094

Aus 2 Fragmenten zusammengesetzt. H. c. 20 cm. Br. 6 cm.

[. . .]α̣γ̣. . [. . . . . . . . ἀφ᾽ ὧν ὀφεί-]
λει τόκων . . . . [. . . . . . . ∽ . .]
¯Αὐρηλία Ἡρωὶς ἡ καὶ [Κοπρία καὶ ἡ ἀδελφὴ]
Αὐρηλία Λουκία ἡ καὶ [Σύρα θυγατέρες Ἀφροδει-]
σίου τοῦ καὶ Σύρου [ἀγορανόμ(ου) διὰ . . . Ἀρισ-]
τάρχου ἐπιτρόπ(ου) ἀφ᾽ [ὧν ὀφείλουσι τόκ(ων) ∽ . .]
Σαραπίας Πτολεμαίου το[ῦ Θεογείτονος διὰ Αὐρηλίου]
Τιβερίου ἄλλας ἐ[πισ(ήμου) ∽ . .]
Αὐρήλιος Σέρηνος ἀγο[ρανόμος . . ἀφ᾽ ὧν ὀφεί-]
λει τόκ(ων) ἐπισ(ήμου) [. . . . . . ∽ . .]
Ἰσίδωρος Θέωνος τ[οῦ Θέωνος ἐπισ(ήμου) ∽ . .]
Ἀρτεμιδώρα Σ̣τ̣εφ̣[άνου ? . . . . . . . . ∽ . .]
Ἀμμωνίλλα ἡ καὶ . [. . . . . . . . . ∽ . .]
Αὐρίλλα Δημητρίου [. . . . . . . . . . ∽ . .]
Αὐρήλιος Δεῖος ὁ καὶ Ν[. . . . . . . . ∽ . .]
[Ζ]ώσιμος Διονυσίου [ἀγορανόμ(ος) . . . . . . . . . . .]
ἐπὶ Θεσμοφορίου το[. . . . . . . . .]
τοῦ ἐνεστ(ῶτος) κγ ς διὰ [Φαμ(.) λη ἐνοίκ(ου) ∽ . . .] 214/5
[Καὶ] ἀπὸ χρεολυτήσεως [δανείων·]
Αὐρήλιος Δημήτριος ἐξ[ηγητεύσας τῆς Ἀλεξανδρέων πόλεως]
ἀφ᾽ ὧν ἐδανείσατο ἐ[πὶ ὑπαλλαγῇ ἔτι πάλαι ὑπάρ]-
χουσι αὐτοῦ ἀργ(υρίου) ∽ β [∽ β΄ . . . . ἀπέδω-]
κεν τῷ Φαρμοῦθι μην[ὶ . . . . . . .]
ἀργ(υρίου) ∽ α καὶ τοὺς . [. . . . . τόκους ἕως τοῦ]
[Φαμ]ενὼθ τοῦ αὐτ[οῦ ἔτους ∽ σι . . . .]

## Fragment III

P 5095 H. 20 cm. Br. 6 cm. 1 Klebung.

[ . . . . . . . . ] ∠ γʹχμϲ
[ . . . . . . . . ] καταλείπ(εται)·
[ . . . . . . . . ] ∠ ρνϲ ÷ ϲχ°
(4. H.) [ . . . . . . . . Σ]έρηνος ἀρχι-
[ερεὺς κοσμ(ητὴς) βουλ(ευτὴς) ἐπ]ιμελητής

*Nach breitem Zwischenraum folgt unten:*

(3. H.) [∠ . . Αὐτοκράτορος Καίσαρος Μάρκο]υ Αὐρηλίου
[Σεουήρου Ἀντωνίνου, Παρθικοῦ με]γίστου
[Βριταννικοῦ μεγίστου Γερμανικοῦ μ]εγίστου
[Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ ]

---

## Fragment IV

P 5096 H. 7,5 cm. Br. 4 cm. Die folgenden Fragmente sind von verschiedenen Händen geschrieben.

*Oben abgebrochen*

[ . . . . . . ]ων πάντων [ . . . . . . ]
[ . . . . . . ]ας τοῦ ἱερ[ωτάτου . . . . ]
[ . . . . . . ἐ]πισήμοις [ . . . . . . . ]
[ . . . . . . . ]⟋
[Καὶ εἰς ἐκδανισμὸν τῷ ὑπογεγρ](αμμένῳ) ὑπόχρεῳ ἐπὶ ὑπ[αλλαγῇ]
[τοῖς διὰ τῶν χρηματισμ]ῶν ὑπάρχουσι, ἐπὶ τῷ [συνήθει]
[τόκῳ τριωβ]ολείῳ ἀργ(υρικῷ), ἐξ ἐπιστ[άλματος]
[τῆς κρατίστης βο]υλῆς διὰ Αὐρηλί[ου . . . . ]
[ . . . . . ἐν]άρχου πρυτάνεως [γνωμηεισ]-
[ηγητοῦ καὶ ἐπι]ψηφιστοῦ.

*Spuren einer folgenden Zeile*

---

### Fragment V

P 5097 H. 10 cm. Br. 4,5 cm.

[ . . . . . . . . . . . . . . . . . . ]ω . .
[ ∕ Ἐσ(τι) λημ(μάτων)] . . χνζ ρ
[Καὶ ἐγλόγου τοῦ μηνὸς ἔλοι]πογρ(άφησα) ≺ [. . .]
[ Ἐσ(τι) σὺν καὶ τῇ ἐγλ(όγῳ)] ϱ α ϛ τοτ
[ Ἐξ ὧν ἀ]ναλώθησαν·
[Εἰς διαγρ(αφὴν) δημοσίων] τελεσμ(άτων) τοῦ δι[ε]λ̣η̣λ̣[υθότος . . .

*Darunter Reste von einigen Zeilen*

---

### Fragment VI

P 5098 H. 8,5 cm. Br. 4 cm. 1 Klebung.

[. . . . . . . . ἀγορα]νόμ(ος) διὰ Αὐρηλίου Π[ ]
[. . . . . . ἀφ' ὧν] ὀφείλει τ[ό]κ(ων) ἐπισ(ήμου) ἄλ(λας) [≺ . .]
[Σαραπίας Πτολεμαίου τοῦ Θεο]γείτονος διὰ Αὐρηλί[ου]
[Τιβερίου . . . . . . . ]

*Hier fehlen mehrere Zeilen*

[. . . . . . . . . . .] . . ἄλλας ἐπισ(ήμου)

*Folgen noch Spuren von Zeilen*

---

### Fragment VII

P 5099 H. 6 cm. Br. 6 cm. Dieselbe Hand wie in Fragment I.

]δη[. .] . . ω.
]. ων ἄλλα[ς] [≺ . . ]
]ωλ̣ια δι' Ἀντωνείνου δρο(μέως)
]αρ. [.]ακος κεκοσμ(ητευκότος) διὰ τῶν
] ≺ [.]
ἀφ'] ὧν ὀφείλει

*Darunter unbedeutende Reste von einigen Zeilen*

---

## Fragment VIII

P 5101 H. 8 cm. Br. 6,5 cm.

[Πράκτορι κώ]μης Πτολεμαΐδος . [
[. . . ] . . . . . κώ(μη) τῇ αὐτ(ῇ) ὑπ(ὲρ) μ[
[. . ] . . γρς τ . . . ερ. μισθ ακοδ ωχ[
[. . . . ]συμβολ ⳨ η ἐκ(άστης) ς η [. . .
[. . ? ] [. . .
[ ]λείων Καρποκράτ[ο]υ στέ[ψεως πάν]-
[των ἐ]ν τῷ ἱερῷ [ὡς] πρόκ(ειται) [ ∠ . . ]
[Ἐλαίο]υ εἰς λυχναψίαν ἐν τῷ σ[ηκῷ ∠ . ]
[Στροβ]είλων καὶ ἀρωμάτων καὶ [ . . . . ]
[. . . . ] [ ∠ . ]
[. . . . . . ]εως Ηρω[. . . ]μητρο κα[. . . . . ]
[Ἐλαίο]υ εἰς λυ[χναψία]ν ἐν τῷ [σηκῷ ∠ . . ]

*Hier bricht der Papyrus ab*

---

3 oder αβοδ? – 4 ⳨ Sigle für πυροῦ; dahinter ist 'Artabe' zu ergänzen. – 6 Die Lesung Καρποκράτου scheint sicher zu sein.

---

## Fragment IX

P 5102 H. 5 cm. Br. 3,5 cm.

*Oberer Rand abgebrochen*

] ō α [
]δίωνι καὶ [
]παροδουσ̄ σ. [
[Στέψεως πάν]των ἐν τῷ ἱ[ερῷ ς . ]
[Ναῦλον ὄνο]υ ὑπὸ δένδ(ρα) ς δ, ὄν[ου ὑπὸ βαϊς ς . ]
παρ]οδουσ̄ στεφ´. δ[
] . . . . . ο) . [

*Hier bricht der Papyrus ab*

---

## Fragment X a und b

P 5100 a. H. 9 cm. Br. 4 cm. b. H. 8,5 cm. Br. 4 cm. *Die Fragmente, die unter einander gehören, enthalten nicht mitteilenswerte Reste des Schlusses einer Columne und des Anfanges der folgenden.*

---

WILCKEN

P 2575 — №363

Papyrus. H. 14,5 cm. Br. 8 cm. Faijûm. Aus byzantinischer Zeit.

[. . . . . . Ὁμολογοῦμεν]
ἐξ ἀλληλ[εγγύ̣ης] ἐσχ[η]-
κέναι ἡμ[ᾶ]ς παρὰ σοῦ διὰ χειρ(ὸς)
εἰς ἰδίαν ἡμῶν χρίαν χρυσίο(υ)
νομισμ[άτ]ια δύο παρὰ
κερ(άτια) δέκ[α π]έντε ἥμισυ
χρ/ ν° β π/ κ̣ε̣ρ̣ ῑε∠ κεφαλαίο(υ),
ἐπὶ τῷ ἡμᾶ[ς χ]ο̣ρηγῆσαί σοι λόγ(ῳ)
τόκου αὐτ[ῶν] μηνιαίως ἀπὸ
νεομην[ία]ς το(ῦ) ὄντος μην(ὸς)
Μεχεὶρ τῆς [. . . . . . ἰνδ(ικτίωνος)]
κέρμ(ατος) μ̣υριά[δας . . . . . . . .]
ἄχρι ἀποδ(όσεως) . [. . . . . . . .]
τούτων ἀπο[δ . . . . . . . . . . .]
ὁπόταν βουλ[ηθείης . . . . . . .]
θέμεθά σοι λ̣[. . . . . . . . . . .]
φέροντα [. . . . . . . . . . . . .]

*Hier bricht der Papyrus ab.*

---

4 l. χρείαν.

WILCKEN

P 2560 — № 364

Papyrus. H. 28 cm. Br. 21,5 cm. Eine Klebung. Faijûm.

[† Βασιλείας τοῦ θειοτάτ]ου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Φλ(αουίου) Ἰουστινιανοῦ-
[τοῦ αἰωνίου Αὐγούστου] καὶ Αὐτοκράτορος ἔτους εἰκοστοῦ ἑβδόμου
[μετὰ τὴν ὑπατείαν Β]ασιλίου τοῦ λαμπρ(οτάτου) Θὼθ ιδ τῆς δευτέρας ἰν(δικτίωνος) ἐπ' Ἀρσ(ινόης). 11 Sept. 553 n. Chr.
(2. H.) [. . . . . . . . . στρατ]ηλάτῃ καὶ Στρατηγίῳ [ἰλ]λουστρίῳ τοῖς ἐνδοξοτάτοις υἱοῖς τοῦ
[τῆς μακαρίας (?) μνήμ]ης Θεοδώρου γεουχ[οῦ]σιν ἐπὶ [τ]ῆς Ἀρσινοειτῶν πόλεως Αὐρήλι-
[ος ἄ(πα) Ἰούλιος υἱὸς . . . . .] μητρὸς Ταρεὺ μακροειδὴς μικρόφθαλμος ἀπὸ τοῦ ὑμετέρ[ου]
[ἐποικίου c. 10 Buchst.] . . . ρυλλου πρὸς τοῖς προαστίοις τῆσδε τῆς πόλεως [χ(αίρειν)]. Ὁμ[ο]-
[λογῶ ἑκουσίᾳ γνώμῃ μεμι]σθῶσθαι παρὰ τῆς ὑμῶν ἐνδοξότητος ἀπὸ τοῦ δικαίου τῆς
[διαφερούσης αὐτῇ οὐσίας] ἐν πεδίῳ τοῦ ὑμετέρου ἐποικίου ἐν τόπῳ Γεερὼ γνωμς ἀριθμς
[c. 15 Buchst. τόπ]ον μικρὸν ἕνα ἀρουρῶν ὅσων ἐὰν ὦσιν, b— ὅσ ἐὰν ὦσ, σὺν
[ ]των μετὰ παντὸς αὐτῶν τοῦ δικαίου ἐφ' ὅσον χρόνον
[βουληθείη ἡ ὑμετέρα] ἐνδοξότης ἀπὸ καρπῶν τῆς εὐτυχοῦς εἰσιούσης τρίτης ἰν(δικτίωνος)
[παρέχοντός μου τοῦ] μισθωσαμένου ἄ(πα) Ἰουλίου ὑπὲρ ἀποτάκτου φόρου αὐτῶν
[ἐνιαυσίως χρυσ]οῦ νομισμάτιον ἓν παρὰ κεράτια ἑπτά, χρ/ νο α π/ κερ/ ζ″ ζύγῳ
[c. 18 Buchst.] ντως, ὅνπερ φόρον καταβαλῶ κατ' ἔτος τῇ ὑμῶν ἐνδοξότητι
[c. 18 Buchst.] καὶ Ἀμαείῳ συμμάχῳ ὑμετέρῳ ὑπὲρ μισθοῦ αὐτοῦ νομισμάτιον
[c. 10 Buchst. Ἡ μίσθωσις] κυρία ἐξ ὑπαρχόντων μου πάντων καὶ ἐπερ(ωτηθεὶς) ὡμολόγη[σα].
(3. H.) [Αὐρήλιος ἄπα Ἰούλιος ] . . . ὁ προκίμαινος μεμίσθωμαι τὰ προγεγραμαίνα ἀπὸ Μαριων καὶ Κυν·
[c. 16 Buchst. φό]ρον ἐνιαύ[σιον] ὡς πρόκιται. Αὐρήλιος Νίλως Πέλου ἔγραψα ἡπὲρ αὐτοῦ παρό[ν]-
[τος ἀγραμμάτου ὄν]τος X

† di [em]u Foibammonos (·χμγ·) eprate . . . δι' ἐμοῦ Φοιβαμμῶν (sic).

---

10 b— = ἄρουρα. – 18 l. προκείμενος, προγεγραμμένα. Schluss, hinter απο, unsicher. – 19 l. Νεῖλος, ὑπέρ. – 21 Zwischen der lateinischen und der griechischen Unterschrift tachygraphische Zeichen.

WILCKEN

P 2572 — №365

Papyrus. H. c. 21 cm. Br. c. 8 cm. Faijûm.

☧ Ἐν ὀνόματι τῆς ἁγίας
καὶ ὁμοουσίου τριάδος
καὶ τῆς [δ]εσποίνης ἡμῶν
τῆς ἁγί̣α̣ς̣ θεοτόκο(υ), βασιλ(είας)
τοῦ θειοτάτου ἡμ(ῶν) δεσπ(ότου) Φλ(αουίου)
Φωκᾶ, αἰων(ίου) Αὐγούστο(υ),
ἔτους [α] Μεχεὶρ ιγ 7 Febr. 603 n. Chr.
ἕκτης ἰν(δικτίωνος) ἐπ' Ἀρσι(νόης).
Αὐρ[ηλία . . . .].να θυγάτηρ
Φοιβαμμῶνος ἀπὸ ἐποικίου
Κιεράτο(υ) τοῦ Ἀρσινοΐτου νομο(ῦ) τῷ
θαυ[μασι]ωτάτῳ Θεοδώρῳ
ὑποδέκτῃ υἱῷ
ἀπ[ὸ τῆς] Ἀρσινοϊτῶν πόλεως [χ(αίρειν)].
Ὁμ[ολογ]ῶ ἐσχηκέναι με παρὰ σο(ῦ)
διὰ χ[ειρὸς] εἰς ἰδίαν μου χρείαν
χρυσίου νομισμάτιον ἓν παρὰ
κεράτια ἑπτὰ ἥμισυ τέταρτο(ν)
χρς ν̣ο α π/ κερ̣ ζ∫ 𐅵 κεφαλαίο(υ)
[ἐπὶ τῷ με] ἑτοί[μως ἔχειν . . . .]

*Hier bricht der Papyrus ab.*

Verso

☧ μ. νν ///.[. . . .]μς χρ/ ν̊ α. [

13 hinter υἱῷ keine Schriftspuren. — Verso. Anfang Ligatur von χρ.

WILCKEN

P 2585 № 366

Papyrus. H. 33 cm. Br. 13 cm. Faijûm. — Aus arabischer Zeit.

† Ἐν ὀνόματι τοῦ κυρίου καὶ δ[εσπότου] Ἰησοῦ
Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν
καὶ τῆς δεσπ[ο]ίνης ἡμῶν τῆς ἁγίας θεοτόκ(ου)
καὶ πάντων τ[ῶν] ἁγίων Μεσορ[ὴ .] δ̣ ἰ(νδικτίωνος) ἐ̣π̣ʼ Ἀ[ρ(σινόης)].
Φλ(αουίῳ) Ἰωάννῃ τῷ μεγαλοπρεπεστάτῳ π̣[αγάρχῳ]
ταύτης τῆς Ἀρσινοιτῶν πόλεως Αὐρή[λι]ος
Ἰωάννης υἱὸς Μηνᾶ ἀπὸ κώμης Ελ̣ . . ιν̣ . .
τοῦ Ἀρσινοίτου νομοῦ χ(αίρειν). Ὁμολογῶ ἑκουσίᾳ
γνώμῃ ἑτοίμως ἔχειν ἕως ἑπτακ[αιδε]κ(άτης)
τοῦ ὄντος μηνὸς Μεσορὴ τῆς παρούσ(ης)
τετάρτης ἰν(δικτίωνος) ποιῆσαι καὶ ἑτοιμάσαι τὰ ἐπιρι . [. .]
ἐν τῷ αὐτῷ μου χορίῳ (sic) εἰς λόγον τῶν
Σαρακηνῶν τονάχιν (sic) ἓν καὶ στρώματ[α] τρ[ί]α
τῷ μέτρῳ τῶν αὐτῶν Σαρακηνῶν.
Εἰ δὲ μὴ ταῦτα πράξω τῇ εἰρημένῃ προθ[(εσμίᾳ)],
ἐνέχεσθαί με παρασχεῖν τῇ ὑμετέρᾳ μεγαλ(οπρεπείᾳ)
οἴκοθεν καὶ ἐξ ἰδίου μου πόρου
ὑπὲρ μὲν τοῦ τοναχίο(υ) χρυσοῦ νομίσματ[α]
ἓξ καὶ ὑπὲρ ἑκάστου στρώματος χρυσοῦ
νομίσματα τρία. Κυρία ἡ ὁμολογία
καὶ ἐπερ(ωτηθεὶς) [ὡ]μολ(όγησα). † Αὐρήλιος Ἰωάννη[ς]
υἱ[ὸς Μηνᾶ] στοιχεῖ μοι πάντα ὡς [π]ρ(όκειται) †.

† di emu Justu . . [. δι'] ἐμοῦ Ἰούστ(ου) †

. . . .

Verso

† Ὁμ(ολογία) γενομ(ένη) ὑπὸ Ἰωάννο[υ υ]ἱο(ῦ) Μηνᾶ εἰς Φλ(άουιον) Ἰωάννην τὸν μεγαλ(ο)π(ρεπέστατον)
π[άγαρχον . . .

---

12 l. χωρίῳ. — 13 l. τονάχιον. Vgl. 18. — 23 hinter Justu tachygraphische Zeichen. Ebenso am Schluss vor dem Kreuz und Z. 24.

WILCKEN

P 2245 № 367

*Papyrus. H. 33,5 cm. Br. 13,5 cm. 1 Klebung. Faijûm. Wohl aus arabischer Zeit.*

## Recto

† Ἐν ὀνόματι τοῦ κυρί[ου καὶ δ]ε̣σ̣πότου Ἰησοῦ
[Χριστ]οῦ τοῦ θεοῦ καὶ σωτ[ῆ]ρος ἡ̣[μ]ῶν καὶ τ[ῆ]ς
[δεσποίν]η̣ς ἡ̣μ̣ῶ̣ν̣ τῆς ἁγίας θεο[τό]κου καὶ πάν[τω]ν
τ[ῶν ἁγίω]ν Παῦνι ιϛ τέλει τρ̣[ίτ]ης ἰν(δικτίωνος) ἐπ' [Ἀ]ρ[σινόης].
Αὐρήλ[ι]ο[ι Να]αραῦς μείζων, υἱὸς [Ἀ]βρααμί[ου]
καὶ Σέρηνος υἱὸς Γεωργίο(υ) καὶ Νααρα̣[ῦ]ς κεφαλαι(ώ)τ(ης)
τοῦ ἀναλώματος υἱὸς Μηνᾶ τοῦ καὶ Παρεῦ καὶ Κυριακὸς
υἱὸς [Ἀπο]λλῶ καὶ Ἀπαὸλ ἀριστερόπηρος υἱὸς Ποῦσι
ὁρμώμενοι ἀπὸ κώμης Ἀράβων τοῦ Ἀρσινοΐτου
νομοῦ τῷ̣ [α]ἰδεσίμῳ̣ Πέτρῳ̣ γραμματεῖ υἱῷ̣
Λαήου ἀπὸ τῆς Ἀρσινοϊτῶν πόλεως χ(αίρειν). Ὁμο-
λογοῦμεν δεδέχθαι παρὰ τῆς σῆς αἰδεσιμ(ότητος)
διὰ χειρὸς ἐκ τῆς τιμῆς τῆς ἑβδομοιρίας (sic)
τοῦ σίτου τῆς παρούσης τρίτης ἰν(δικτίωνος) τοῦ νομίσμ(ατος)
ἑνὸς πληρατοῦ (sic) ἀρταβῶν εἴκοσι τέως
χρυσίου νομισμάτια πέντε ὄβρυζα
ἕκαστον ἀπὸ κερατίων εἴκοσι τριῶν
Ἀλεξανδρείας χρ/ ν° ε οβρυζ/ εκαστ/ απ̊ ∕ κγ Αλ
καὶ πρὸς σὴν ἀσφάλειαν ταύτην σοι πεποιήμ(ε)θ(α)
τὴν ἀπόδειξιν κυρίαν οὖσαν καὶ ἐπερ(ωτηθέντες) ὡμ(ολογήσαμεν). †
Αὐρήλιοι Νααραῦς μείζων, υἱὸς Ἀβρααμίου καὶ
Σέρηνος υἱὸς Γεωργίο(υ) καὶ Νααραῦς κεφαλ(αιώ)τ(ης) τοῦ ἀναλ(ώματος)
υἱὸς Μηνᾶ τοῦ (καὶ) Παρεῦ καὶ Κυριακὸς υἱὸς Ἀπολλῶ καὶ
Ἀπαὸλ υἱὸς Ποῦσι οἱ πρ(οκείμενοι) στοιχεῖ ἡμῖν ἡ παρ(οῦσα) ἀπόδειξι(ς)
τῶν πέντε ὀβρ[ύζ(ων)] νομισμ(ατίων) ἀπὸ κερ(ατίων) τριῶν (sic) εἴκοσι
τριῶν Ἀλε(ξανδρείας) ὡς πρόκ(ειται) †

(2. H.) † *di emu Joannu* . . . . . . . . . [δι'] ἐμοῦ Ἰωάννου

*verte*

(P 2245) (№ 367)[2]

## Verso

1 . . . ] λ̣αστ. ///////// [γε]ν̣ομ(ένη) ὑπὸ Αὐρ(ηλίων) Ναραῦ μείζ(ονος) υἱο(ῦ)
Ἀβρααμίο(υ) (καὶ) Σερήνου

2 [υἱοῦ Γεωργίου καὶ Ναραῦ] κεφαλαι(ώ)τ(ου) τοῦ ἀναλ(ώματος) υἱο(ῦ)
[Μηνᾶ τοῦ (καὶ) Π]αρεῦ (καὶ) Κυριακοῦ υἱοῦ Ἀπολλῶ (καὶ) Ἀπαὸλ
υἱοῦ Ποῦσι εἰς τὸν αἰδέσι(μον)

3 [Πέτρον γραμματέα υἱὸν Λαήου.]

---

5 μείζων ist Titel. — 6 κεφαλαι Pap. — 8 ἀριστερόπηρος d. h. linksseitig gelähmt. — 13 (Schluß) l. ἑβδομομοιρίας(?) — 15 πληρατου Pap. für πληρωτοῦ? — 19 σὴν ist corrig. aus τήν. — 20 ἐπερρ/ ωμμς Pap. Zu der Auflösung vgl. Wilcken, Berl. phil. Wochenschr. 1891 No 52 S. 1648. — 22 κεφαλ Pap. — 23 καὶ mit der Sigle ς geschrieben. — 24 αποδειξι Pap. — 27 hinter Joannu folgen noch einige lateinische Buchstaben, darauf tachygraphische Zeichen, ebenso über und unter der Linie. —

Verso 1 αυρρ/ Pap. — καὶ hier und in Z. 2 mit der Sigle ς geschrieben.

WILCKEN

P 2546 № 368

Papyrus. H. 36 cm. Br. 10,5 cm. Faijûm.

[✝] Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότο(υ)
Ἰ[η]σοῦ Χριστοῦ τοῦ θεο(ῦ) καὶ σωτῆρ(ος)
ἡμῶν, βασιλείας τοῦ ἡμῶν δεσπ(ότου)
Φλ(αουίου) Ἡρακλείου τοῦ αἰων(ίου)
Αὐγούστου καὶ Αὐτοκρ(άτορος) ἔτους ε
Ἐπεὶφ νεομηνίᾳ τέλει γ ἰν(δικτίωνος) 25 Juni 615 n. Chr.
ἐν Ἀρσ(ινόῃ).
(2. H.) Φλ(αουίῳ) Τζ[.]ιτᾳ τῷ μεγαλοπρεπεσ-
τάτῳ κόμετι καὶ μειζοτέρῳ
Στρατηγίου τοῦ πανευφήμου

verte

πατρικίου ἀπὸ τῆς Ἀρσινοϊτῶ(ν)
πόλεως Αὐρήλιος Λούτζω(ν)
κουφοκεραμουργὸς υἱὸς Ἀπαὸλ
ἀπὸ τῆς αὐτῆς πόλεως ἀπὸ
ἀμφόδου [Πα]ρεμβολῆς χ(αίρειν).
[Ἔσ]χον κα[. .]ν παρὰ τῆς ὑμετέρ(ας)
μεγαλοπρεπείας διὰ Πέτρου
τοῦ λαμπροτάτου διοικητοῦ
τοῦ αὐτοῦ πανευφήμου ἀνδρὸς
ὑπὲρ τοῦ ἐμο(ῦ) μισθο(ῦ) τῆς ἐγκούσ-
σεως τῶν κούφων εἰς χρείαν
ῥύσεως τετάρτης ἰν(δικτίωνος)
λέγω δὴ ἄλλο χρυσίου νόμι(σμα)
ἓν ὡς ν(ομιτεύεται) χρ/ ν̊ α ὡς νς,
καὶ πρὸς ὑμετέραν ἀσφάλ(ειαν)
ταύτην αὐτῇ πεποίημαι
τὴν ἀπόδειξιν κυρίαν
οὖσαν καὶ ἐπερ(ωτηθεὶς) ὡμ(ολόγησα) +
(3.H.) Αὐρήλιος Λούτζων
υἱὸς Ἀπαὸλ ὁ προκ(είμενος)
στοιχεῖ μοι ἡ ἀπόδειξ(ις)
ὡς πρόκ(ειται).

(4.H.) ✝ di emu Osmaniu.

---

20 εγκο$^{υ}$σ Pap.

WILCKEN

P 2548 — № 369

Papyrus. H. 15 cm. Br. 15 cm. Faijûm.

[+ Μετὰ τὴν ὑπατείαν Ὀρ]έστου καὶ Λαμπαδίου τῶν λαμπρ(οτάτων)
[. . . . . . . . . . . . . . . . . .] ἐνάτης ἰν(δικτίωνος) ἐν Ἀρσ(ινόῃ). 531 n. Chr.
[. . . . . . . . . . . . . . . . . . .] Ἀπα[ὸλ] καὶ Μηνᾶς ἕτερος υἱὸς Παυλίου ἀμφότεροι
[ὁρμώμ(ενοι) ἀπὸ τῆς Ἀρσι]νοειτῶν πόλεως ἀπὸ ἀμφόδο(υ) Περσέας
[ὑπογράφοντες ἰδίᾳ] χειρὶ Φλ(αουίῳ) Ἰωάννῃ φλαουϊαλίῳ ἀριθμοῦ
[τῶν καθοσιωμ(ένων) Τραν]στιγριτανῶν υἱῷ τοῦ μακαρίου
[. . . . . . . . . . . . . . . . . .] χ(αίρειν). Ὁμολογο(ῦ)μεν ἐξ ἀλληλεγγύης
[ἐσχηκέναι παρὰ σοῦ] διὰ χειρὸς ἅπερ προεχωρήσαμεν
[. . . . . . . . . . . . . . . . . .]εως τῆς ἁγιωτάτης ἐκκλησίας
[. . . . . . . . . . . . . καλ]ουμένης Περσέας ἧς καὶ
[. . . . . . . . . Αὐρήλιο]ς Μηνᾶς υἱὸς Παπᾶ τυγχάνω

*Hier bricht der Papyrus ab*

---

1 die Ergänzung ὑπατείας würde für die Lücke zu klein ſein. Die Indiction paßt zu obiger Ergänzung. — 2 hier iſt sicher ἐν, nicht ἐπ' geſchrieben. Auch an mancher Parallelstelle mag ἐν zu leſen ſein. Wegen der großen Aehnlichkeit von ν und π in dieſer byzantiniſchen Schrift iſt ſonst die Entſcheidung darüber vielfach ſchwierig.

WILCKEN

P 2549

Papyrus. H. 16,2 cm. Br. 9,5 cm. Faijûm.

Nº 370

## Recto

† Ἐν ὀνόματι τοῦ κυρίο[υ καὶ δεσπότου Ἰησοῦ]
Χριστοῦ τοῦ θεοῦ [καὶ σωτῆρος ἡμῶν]
βασιλείας τῶν θει[οτάτων δεσποτῶν ἡμῶν]
Φλ(αουίου) Ἡρακλείου [καὶ Φλ(αουίου) Ἡρακλείου Νέου Κωνσταντίνου]
ἔτους κα Ἁθὺρ[.. δ ἰν(δικτίωνος) ἐν Ἀρσ(ινόῃ)]. Oct./Nov. 630 n. Chr.
Αὐρήλιος Κοσμ[ᾶς υἱὸς Ἰωάννου ἀπὸ κώμης]
Ἀγκῶνος τοῦ Ἀρσιν[οΐτου νομοῦ τῷ λαμπροτάτῳ]
Τιμοθέῳ ἐπιστάτῃ [ἐργασίας . . . . . . . . . .]
καὶ σακκοφόρων τ[. . . . . . ἀπὸ τῆς Ἀρσινοιτῶν]
πόλεως χ(αίρειν). Ὁμολογῶ ἐσ[χηκέναι παρὰ τῆς ὑμετέρας]
λαμπρότητος διὰ χειρὸς κ[. . . . . . . . . . . . .]
τὴν τιμὴν χόρ̣τ̣[ου . . . . . . . . . . . . . .]

*Hier bricht der Papyrus ab*

## Verso

† Κοσμᾶ υἱο(ῦ) Ἰωάν[νου . . .

---

8 über Τιμοθέῳ ein Kreuz, wohl wegen des θεῶ darin.

WILCKEN

P 2556 — № 371

Papyrus. H. 31,5 cm. Br. 10 cm. Faijûm. Wohl aus arabischer Zeit.

Publiciert von Magirus, Wien. Stud. VIII S. 93 No 1 (mit Facsimile). Vgl. Wessely ebend. S. 109 ff.

## Recto

† Ἐν ὀνόματι τοῦ κυρίο(υ) καὶ δεσπ(ότου) Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Μεσορὴ ιγ ἀρχ(ῇ) ιγ ἰν(δικτίωνος) ἐν Ἀρ(σινόῃ). 6 Aug.

Αὐρήλιος Μηνᾶς ζωγράφος υἱὸς τοῦ μακαρίο(υ) Φοιβαμμῶνος ἀπὸ τῆς Ἀρσινοϊτῶν πόλεως ἀπὸ ἀμφόδου Θεραπείης ἑξῆς ὑπογράφων ἰδίᾳ χειρὶ Αὐρηλίῳ Ἀμαίῳ κολλεκταρίῳ υἱῷ Κυρικο(ῦ) ἀπὸ τῆς αὐτῆς πόλεως χ(αίρειν). Ὁμολογῶ ἐ[σ]χ̣η̣κ[έναι] καὶ δεδέχθαι καὶ πεπληρῶσθαι παρὰ σοῦ διὰ χειρὸς ἐντεῦθεν ἤδη τὴν τιμὴν τοῦ πρὸ τούτο(υ) διαπραθέντος σοι παρ' ἐμο(ῦ) οἴκου διακειμένο(υ) ἐπὶ τοῦ αὐτο(ῦ) ἀμφ(όδου) κατὰ τὴν δύναμιν τῆς γεγενημένης σοι παρ' ἐμο(ῦ) πράσεως τῆς καὶ κυρίας οὔσης καὶ βεβ(αίας) καὶ ἐχούσης τὴν ἰδίαν πίστειν καὶ ἰσχὺν εἰς πλήρης καὶ εἰς ὁλόκληρον, καὶ τοῦ λοιπο(ῦ) μηδένα λόγον ἔχειν μὴ ἐμὲ μὴ κληρονόμους ἐμοὺς μὴ ἄλλ(ον) τινὰ ἐκ προσώπο(υ) μο(υ) πρὸς σὲ ἢ πρὸς κληρονόμους σοὺς περὶ τοῦ εἰρημένο(υ) καὶ πραθ(έντος) σοι παρ' ἐμο(ῦ) οἴκο(υ) κατὰ τὴν δύναμ(ιν)

verte

τῆς αὐτῆς πράσεως μὴ περὶ
ἑτέρας τιμῆς αὐτο(ῦ) τὸ σύνολον
διὰ τὸ ἐντεῦθεν ἤδη πληρωθῆναί
με παρὰ σοῦ ὡς προείρηται. Κυρία
ἡ ἀμεριμνία καὶ ἐπερ(ωτηθεὶς) ὡμ(ολόγησα) ☩.
(2.H.) ☩ Αὐρήλιος Μηνᾶ (sic) υἱὸς τοῦ
μακαρίου Φοιβαμμῶνος ὁ
προγίμενος στιχεῖ με τῇ ἀμ-
ερημνίᾳ ὅς πρόγιτε καὶ ὑ̣πω-
κράψας χειρεὶ ἐμῇ ἀπέλη-
σα ☩

(3.H.) ☩ di emu f̣iḅ[. . . . . . .

## Verso

☩ Πληρωτικ(ὴ) ἀμεριμν(ία) γενομέ(νη) ὑπὸ Αὐρ(η)λ(ίου) Μηνᾶ
ζωγράφου υἱοῦ Φοιβαμμῶνος
εἰς Αὐρ(ήλιον) Ἀμάϊον κολλεκτάρ(ι)ο(ν) ☩

---

19 l. πίστιν. – 20 l. πλῆρες. – 33 l. Μηνᾶς. – 35 ff. l. προκείμενος στοιχεῖ μοι τῇ ἀμεριμνίᾳ ὡς πρόκειται καὶ ὑπογράψας χειρὶ ἐμῇ ἀπέλυσα. – 39 die Schriftspuren hinter emu scheinen zu fib zu passen. Der Name ist dann entweder Φὶβ oder Φιβαμμών.

WILCKEN

P. 7089
Papyrus. H: 26 cm. Br: 27,5 cm. Faijûm.

№ 372

Col. I.

[Μά]ρκος [Σεμπρώνιος Λ]ιβ[ερ]άλ[ι]ς ἔπαρ[χος] Αἰγύπ[του λέγ]ει· Πυνθάνομ[αι τοὺς μὲν] διὰ τὴν γενομένην δυσχερειαν [τ]ῶ[ν · · · ·]οἰκείαν ἀπ[ο λε]λοιπέναι ἀλλαχ[ῆ] εἰς τὰ προσ[· · · · · · ·]·ορ[ί]ζοντα, ἑτέρους δὲ λιτουρ[γεία]ς τινὰς [πεφευγότας] διὰ τὴν [τ]ότε περὶ αὐτοὺς ἀσθένειαν ἐν ἀλλοδαπῇ ἔτι καὶ νῦν διατρείβειν φόβῳ τῶν γενομένων παραυτίκα προγρ[α]φῶν. Προτρέ[πομαι] οὖν πάντας ἐπαν[ελθ]εῖν ἐπὶ τὰ ἴδια καὶ τὸ[ν · · · π]ρῶτον καὶ μέγιστ[ον] κ[α]ρπὸν τῆς εὐετ[ηρίας κ]αὶ τῆς τοῦ κυρίου ἡμῶν Α[ὐτο]κράτορος περὶ πάντας ἀνθρώπους κη[δε]μονίας ἀποφέρεσθαι [καὶ] μὴ ἀνεστίους καὶ ἀο[ί]κ[ου]ς ἐπὶ ξένης ἀλᾶσθα[ι. Ἵ]να δὲ τοῦτο προθύμ[ως] [· · · · ·]· η δυ·[· ·]ο[· · ·]·[· · ·, ἤ]στωσαν [· ·]ντ[ὸ]νπ[· · ·] τ[· ·] ἐκ ταύτ[ης] τῆς αἰτ[ίας] κατεχόμενον ἀ[· ·]θ[ή]σεσθαι τῆ[ς] τοῦ μ[εγίσ]του Αὐτοκράτορος εὐ[με]ν[εί]ας καὶ χρη[σ]τότητος, ἐπ[ι]τρεπούσης καὶ μ[ηδ]εμίαν πρὸς α[ὐ]τοὺς ζήτησιν ἔσεσθαι, ἀλλὰ μηδ[ὲ] πρὸς τοὺς ἄλ[λο]υς τοὺς ἐ[ξ ἄλλ]ης δήποτε αἰτίας ὑπὸ τῶν στρατη[γῶν] προγραφέντας· καὶ τούτους γὰρ [· · · · · · · ·]κατερχ[εσθαι] εἰς τὴν ἰδία[?]ν ·ν[· ·]ις [· · · · · · · · · · · · · · · · · ·]· ·σαν μ[ετ]ὰ τῆς πρ[·]-[· · · · · · · · · · · · · · · · · ·]ειασω [μ]ηδὲ προτ[ε]-[· · · · · · · · · · · · · · · · · · · ·]ιατ[όν? ἐ]μφυλον τ··[·] [· · · · · · · · · · · · · · · · · · · ·]ω[· ·]δειλίαν[· ·] [· · · · · · · · · · · · · · · · · · · · ·]·ητομν[· · ·] [· · · · · · · · · · · · · · · · · ·]ν[· ·]·λοσι μᾶλ[λον] [· · · · · · · · · · · · · · · · · · · ·]εαπουθω-[6· · · · · · · · · · · · · · · · · ·]·[· ·]·[· ·]··ης μ·

verte

[· · · · · · · · · · · · · · · · · · · · · · · ·] ν̣[· · ·]· · μὴ ὑπακ[ο]ύ-
[· · · · · · · · · · · · · · · · · · · · · · · ·]·[· · ·]· ·[·]ς ὁμολογ[· ·]
[· · · · · · · · · · · · · · · · · · · · · · · ·]α[ν]αζητεῖσθαι
[· · · · · · · · · · · · · · · · · · · · · · · ·]εν ἀλλὰ ἀπ[·]·
[· · · · · · · · · · · · · · · · · · · · · · · ·]ς[· ·]·ντα πλαν[· ·]· · ·

## Col. II.

ν[· ·]ουτω[· ·] δὲ ἄκο[ν]τας ἀ[νδ]ράσι πονηρ[ὸν κ]α[ὶ] λῃσ[τ]ρικὸν β[ίον ποιουμέ]νοις μείγνυσθ[αι]. Ἵνα δὲ μὴ μόνον το[ύτ]οις ἀλλὰ [κ]αὶ ἑτέ[ρ]οις ταῦτά μ̣ε̣ π̣αραινεῖν καὶ πράσσειν μ̣ά̣θωσι, ἴστωσαν, ὅτ[ι] κ[α]ὶ τοῖς κρατίστο[ις] ἐπιστρατήγοις καὶ τοῖς σ[τ]ρατηγοῖς καὶ τοῖς πε[μ]φθεῖσι ὑπ' ἐμ[οῦ] πρὸς τὴν τῆς χώρας ἀσφάλειαν καὶ ἀμεριμ̣νίαν στρατιώταις παρήγγει[λα], τὰς μὲν ἀρ̣χομένας ἐφόδους κ[ω]λύειν, προορῶντας καὶ προαπαντ̣ῶ̣ντας, τὰς [δὲ γ]ενομένας παρ[α]υτίκα ἐπιδιώκειν κα[ὶ] το[ὺς] λημφθέντας ἐπ' αὐτ̣[ο]φ[ώρ]ῳ κακούργους μ[η]δὲν περαιτέρω τῶν ἐν αὐτῇ τῇ λῃστείᾳ γενο[μ]ένων ἐξετάζειν, ἄλλοις δὲ τῶν ποτε προγραφ[έ]ντων ἡσυχάζουσι καὶ ἐν τῇ οἰκείᾳ τῇ γεω[ργ]ίᾳ προσκατέ(ρ)χουσι μὴ ἐνοχλεῖν. Κ̣α(ρ)τ̣ε̣ρ̣χέ[σ]θωσαν οὖν ἀμ[έ]ριμνοι καὶ ἔστω π[ρο]θεσμία [αὐτο]ῖς, ἐξ οὗ ἂν τοῦτ̣[ό] μου τὸ διάταγ[μ]α ἐν ἑκά[στ]ῳ νομῷ προτεθῇ, μῆνες (sic) γ̅. Ἐ[ὰ]ν δέ τις [με]τὰ τὴν τοσαύτην μου φιλανθ[ρ]ωπίαν [ἐ]πὶ ξένης πλανώμενος φανῇ, οὗτος οὐκέ[τι] ὡς ὕποπτος, ἀλλὰ ὡς ὁμόλογος κακοῦργος σ[υ]νλημφθεὶς πρὸς μὲ ἀναπεμφ[θ]ήσ[ε]ται.

L [ι]η Ἀντωνίνου τοῦ κυρίου. 29 August 154 n. Chr.

Θὼθ α̅

---

15 προσκατερχρουσι (corr.) Pap.

Fr. Krebs.

Papyrus. H: 24 cm. Br: 11 cm. Faijûm.

Ὁμ[ολ]ογεῖ Αὐρήλιος
Ἡλιόδωρος Διδύμου μητρὸς
Ἀλιλλῆ[ς] ἀπὸ ἀμφόδου Βιθυ-
νῶν ἄλλων τόπων πεπρακέ-
ναι Αὐρηλίῳ Ἀτρῆ Ἀβὸχ
μητρὸς Θερμούθι[ο]ς ἀπὸ κώμης
Ἀρσινόης ὄνον πῶλον μικρὸν
μέλανα τιμῆς τῆς συμπεφω-
νημένης πρὸς ἀλλήλους ἀργυρίου
δραχμῶν [. . . . . . . . . . . . . . .],
ἥνπερ [τιμ]ὴν ἀπ[έ]σχεν ὁ πε-
πρακὼς [πα]ρὰ τοῦ πρ[ι]αμένου
πλήρης [διὰ] χειρὸς τ[ο]ῦτον τοιοῦ-
τον ἀναπόριφον. Ἡ πρᾶσις
κυρία καὶ ἐπερωτ(ηθεὶς) ὡμολ(όγησα).
(2H?) ∟ ιεʹ καὶ ιδʹ καὶ ζʹ τῶν κυρίων ἡμῶν Διοκλητιανοῦ 6 Septb.
καὶ Μαξιμιανοῦ Σεβαστῶν καὶ Κωνσταντίου 298
καὶ Μαξιμιανοῦ τῶν ἐπιφανεστάτων Καισάρων n. Chr.
*(3H) Θὼθ θʹ. * Αὐρήλιος Κολλᾶς πέ-
πρακα καὶ ἔσχον τὴν τιμὴν
πλήρης ὡς πρόκιται. Αὐρήλιος
Ἥρων ἔγραψα ὑπὲρ α[ὐτο]ῦ ἀγραμ[μάτου].

---

14. ριφ corr. aus φιρ.

Fr. Krebs

P. 7448 Recto. | № 374
Papyrus H: 24 cm. Br: 9,5 cm. Etwa 3 Jahrh. n. Chr. Faijûm.

[ Ἀρ]χεφόδοις κώμης Καρανίδος. Ἐξ αὐτῆς ἀναπέμψατε
[........]Δ̣ιδύμου καὶ τὴν τούτου γυναῖκα Ταμάρωνα ἐνκ[α]-
[λ]ουμένους ὑπὸ Αὐρηλίου Σερήνου Σαραπίωνος. ~~~~ (sic)

Fr. Krebs

P. 8251. | № 375
Papyrus H: 7 cm. Br: 19 cm. Faijûm. 2/3 Jahrh. n. Chr. Faijûm.

Ἀρχεφόδῳ κώμ[ης] Ἀπιάδος. Ἀνάπεμψον Διοσκορ[...
τέας γεωργῶν ἐνκαλουμένους ὑπὸ Ἑριεῦτος Εδ[...

Fr. Krebs

P. 6970 + 7450 (vgl. № 147) | № 376
Papyrus H: 4,5 cm. Br: 22 cm 2/3 Jahrh. n. Chr. Faijûm.

Ἀρχεφόδοις καὶ εὐσχήμοσι κώμης Καρανίδος. Ἀναπέμψατε
Σεουηριανὸν υἱὸν Πτολεμαίου Σατύρου καὶ Τασεὺς γυνὴ (sic) τοῦ Πτολε-
μαίου ἐνκαλουμένου ὑπὸ Ζωσίμου Λεωνίδου ἐξ αὐτῆς.

3 l. ἐνκαλουμένους.

Fr. Krebs

P. 2947 — № 377

Papyrus. H. 15,5 cm. Br.: 38 cm. 3 Klebungen. 7/8 Jahrh. n. Chr.* Faijûm.

† Γνῶσις τῶν δοθ(έντων) εἰς τὸ μαγειρ(εῖον) τοῦ δεσπό(του) ἡμῶν τοῦ πανευφή–

α// ἡμέρα   ὄξου(ς) σιρωτ' ε   γάρος κνίδ(ια) α   πρόβ(ατα) α   ἄρν(ια) α   δέλφ(ακες) α

(2H) β ἡμέρα   ὄξ(ους) κολλ^θ' ια   πρόβ(ατα) α   δέλφ(ακες) α

(3H) γ ἡμέρ(α)   ὄξ(ους) κολλ^θ' θ   πρόβ(ατα) α   δέλφ(ακες) α

5 τῇ αὐτ(ῇ)

(2H) τῷ κιθαριστῇ δ(ιὰ) Νάρσι   πρόβ(ατα) α

(3H) λτ   πρόβ(ατα) α   ἄρνι(α) α   δέλφ(ακες) α

(4H) Σαβούρ

Χορολόσρο   ὄξους λαγοί(νια) α

1 μ(ου) Σαραλακέοξαν.

2   ὀρνίθ(ια) β   περιστέρ(ια) ϛ   ὠ(ά) κ

χοῖρ(οι) β   ὀρνίθ(ια) β   περιστέρ(ια) δ

ὀρνίθ(ια) γ   περιστέ(ρια) δ   καμήλι(α) α   ὠ(ά) κε

5 χοῖρ(οι) γ   χεϊδάριν α

ὀρνίθ(ια) β   περιστε(ρ)(ια) ϛ

ὠ(ά) ιγ

9   ὠ(ά) ιε

Verso.

(4H) Γνῶσ(ις) τῶν δαπ(ανῶν)   . ε . [. . . . .] κς

---

Die verschiedenen Hände wechseln auch in den einzelnen Zeilen ab; auch sind verschiedene Tinten benutzt. Eine strenge Scheidung der Hände ist nicht möglich. – 7. = τῇ αὐτῇ (?) – 8 l. λαγύνια (?) 2, 4, 8 u. 9 ῳ Pap. – * Vielleicht aus der Zeit der persischen Occupation (619 – 629).

Fr. Krebs.

P. 7052. № 378

Papyrus. H: 33 cm Br: 34 cm. Faijûm. 2/3 Jahrh. n. Chr.

[· · · · · · · · · · · · · · · · · · · · · Καλ]πουρνιανῶι δ[ι]καιοδότηι
[παρὰ Γαίου Ἰουλίου Ἀγριππίνου σ]τρ[α]τιώτο[υ λεγεῶνος]
[β̄ Τ]ρ[αϊανῆς Ἰσχυρᾶς ρχ Σο]υπλικίου Σευήρου · · · · · · ]
[· · · · · · · · · · · · · · · · · · · · · · · · · · · · · · ]ης[· · · · · · · · · · · · · ]
[· · · ]υ · · ατ[ῷ κρατ]ίστῳ[ἡ]γεμόνι βιβλειδίου καὶ τ[ῆς · · · · · · ]
[· · · · ἐν]ης[ὑπογρα]φῆ[ς ἀν]τίγραφον ὑποτάξας δέομαι, ἐάν
[σου τῇ] τ[ύχῃ δόξῃ · · · · · τ]ὸν[ἀ]ντίδικον Ἰούλιον Σατορνῖνον
[· · · ] · · · · · · · · · · · · · · · · · · · · · · · · · ] · [ἀ]ναπομπὴν. καὶ ~~τὴν σου~~ (sic)
[· · · ]σμεν · [· · · · · · · · · · · · · ] ε · σ[· · ] παρ' αὐτῷ οὖσαν. Διε[υτύ]χ(ει).
[· · · · · · · · · · ]ε
Λ[ου]κίωι[· · · · · · · · · · · · · ] · ωι ἐπάρχωι Αἰγύπτου
παρὰ Γαίου [Ἰ]ο[υλίου Ἀγρ]ιπ[πίν]ου στρατιώτου λεγεῶνος β̄
Τραϊανῆ[ς Ἰ]σχυρ[ᾶ]ς ρχ Σουπλ[ι]κίου Σευήρου. Περιγραφεὶς, κ[ύ]ρ[ιε],
π[ρὸ]ς τῆς ἐπ[· · · · · · · · · Ἰου]λίου Σατουρνείνου ἀνεψιοῦ μου
ἐντυγχάνω · [· · · · · · · · · · · · · · · · · · · · κλη]ρονόμους ἀπ[· · · ]ς
μου Ἰουλίου Ἀγριππίνο[υ · · · · ]αιω πραγμονωσ · Σατορνεινο[·]
ἐπο[ί]ησεν πρ[ὸς] με κατά[σ]τασ[ι]ν. Κλαυδίου [Ν]εοκύδους [· · ]
γε[ν]ομένου δικαιοδότου ἀπαιτῶν [τί μοι] ἔλεγεν δεδωκ[έν]αι
τῷ πατρί μου παραθήκην ἐπενέγκας μου χειρόγραφ[ο]ν [· · ]μ[·]ν
χρ[υσ]ίου μναϊαίω[ν] ὀκτώ, [ὅ]περ ἀνάγκασέν (sic) με γράψαι βίᾳ ἄκον-
τα, τυγχάνω γὰρ ἀγράφως [· · ]υτο ἔτι ἐντὸς ὢν τοῦ Λαιτωρίου νό-
μου ἔτι δὲ καὶ ἐξισχύσας [μ]εταξὺ ἐκ παραλογισμοῦ ἐπ[· · · · · · ]
κρατίστου δικαι[ο]δότου Καλπουρνιανοῦ τῷ τοῦ Ἀρσινο[ίτο]υ στρα-
τηγῷ, ὅπως ἐν[· · ]ιβασθη[· · ]ς τὰ ὑ[π]άρχο[ν]τά μοι ὄντ[α · · · · · ] · ·
μη · σει τα[λά]ντων δέκα καὶ πρὸς χάριν [τ]ῶν προκειμ[ένων τ]ο[ῦ]
χρυ[σί]ου [μναϊ]αίων ὀκτώ, διαπεμψά[μ]ενος ὁ Σατορ[νε]ῖνος
τὴν ἐπ[ι]σ[τολ]ὴν διὰ δύο στρατιωτῶν · [· · · ] τοῦ δικαι[οδότου].
L ι Φαρμοῦθι κ[·].

[3 u. 13 ρχ = ἑκατονταρχείας.] – 5/6 Erg. etwa ὑπογεγραμμέν]ης ο. ä.

Fr. Krebs.

P. 7099. № 379

Papyrus. H: 22 cm. Br: 11 cm. Faijûm.

Λ̣υ̣... .....
Δίωι καὶ Πρωτογένει γεγυμνασιαρχηκόσι
βιβλιοφύλαξι τῆς ἐν Ἀρσινο(ειτῶν) πόλει) δημο(σίας) βιβ[λιοθ(ήκης)]
[π]αρὰ Γ̣ε̣...κου καὶ Πτολλᾶτος, ἀμφοτέρων
Πετει........................ ἀπ̣ὸ̣
κώμης Καρανίδος τῆς Ἡρακλείδου μερίδ[ος].
Ἀφ' ὧν ἀπεγράψ[ατο ἑκάτερ]ος ἡμῶν διὰ
Ἀμμωνίου καὶ Σαραπίωνος προτέρων βιβλ[ιοφ(υλάκων)],
βουλόμεθα παραχωρῆσαι [τῶι] γ[νησ]ίωι ἡμ[ῶν]
ὁμοπατρίωι καὶ ὁμομητρίωι ἀδελφῶ[ι]
Πετεεῦτι ἑκάτερος ἕκτον μέρος κ[οινὸν]
[κ]αὶ ἀδιαίρετον ἐλαιῶνος ἐν κατοικικῆι τ[άξει]
ἀρούρης μιᾶς περὶ Ψεναρψ[ε]νῆσιν, ὅ ἐσ̣τ̣ι̣[...],
ἀφ' οὗ ἑκάτερος ἀπεγράψατο ἐλαιῶνος ἥμι[συ],
ὥστ' εἶναι ἐπὶ τὸ αὐτὸ τὸ ἐξοικονομούμεν[ο]ν
ἐλαιῶνος ἀρούρης τρίτον τειμῆς ἀργυρίο[υ]
δραχμῶν διακοσίων. Διὸ προσαγγέλλο[μεν],
ὅπως ἐπιστείλητε τῷ τὸ γραφεῖον Καραν[ίδος]
συνχρηματίζε(ιν?) ἡμεῖν ὡς καθήκ(ει).

(2 H) Τῶι τὸ γραφῖον Καρανίδος· Καθ' ἣν πεποίηνται...
[...] τρίτ[ον] μέρος τῆς τ̣ο̣ῦ̣ κλήρου ἀρ[ού]ρη[ς] (α (sic)) μ̣ι̣ᾶς [...?]
ὑπ' οὐδ̣ε̣ν̣ὸς κ̣ρ̣α̣...τ̣η̣τ̣ε̣ μεισθῷ ὡς καθήκει.

(3 H) L ιγ Νέρωνος Κλαυδίου Καίσαρος
Σεβαστοῦ Γερμανικοῦ Αὐτοκράτορος
Παῦνι γ. 28 Mai 67 n. Chr.

1. λ[...] Pap. Der Rest der Z. ist, ebenso wie in Z. 5, verlöscht.

Fr. Krebs

P. 7108 Verso. №. 380

Papyrus H: 20 cm. Br: 11 cm. Faijûm. 3 Jahrh. n. Chr. (vgl. Z. 23 u. № 389).

Ἡ μήτηρ[··]ελόχῳ τῷ υἱῷι
χαίρειν.
Ὀψείας τῆς ὥρας ἀπελ-
τοῦσα πρὸς Σεραπίωνα
τὸν βατρανον ἐξέτασε
περὶ τῆς σωτηρίας σου
καὶ τῆς πεδίων σου καὶ εἶ-
πέ μοι, ὅτι τὸν πόδαν πο-
νεῖς ἀπὸ σκολάπου, καὶ
ἐτολότην, ὡς σου περισό-
τερον νωχελευομένου,
καὶ αἰμοῦ λαιγούσας τῷ
Σεραπίωνι, ὅτι συνε(ρ)ξέρ-
χομέ συ, ἔλεγαί μοι· Οὐδὲν
περισότε[ρ]ον ἔχι σε. Εἰ δὲ οἶ-
δες σατῷ, ὅτι ἔχεις ἔτι,
γράψον μοι, καὶ καταβένω
περπατῶ μετὰ οὗ ἐὰν εὕ-
ρω. Μὴ οὖν ἀμελήσῃς, τέ-
χνον, γράψε μοι περὶ τῆς
σωτηρίας[σ]ου, ὡσθ (sic) ἰδῶς πό-
βον τέκνου. Ἀσπάζετέ σε
τὰ τέχνα σου. Αὐρήλιος Πτο-
λεμινο τῷ πατρεὶ χαίρειν πε-
σον Διονύσιον ·α[.]··ν τεχ.

---

4 l. θοῦσα. — 5 l. πατρῶνον od. οὐετρανόν. l. ἐξήτασα. — 7 l. παιδίων. — 8 l. πόδα. — 9 l. σκόλοπος (π corr. aus ν). — 10 l. ἐδολώθην u. ἐνοχλευομένου. — 12 l. λεγούσης. — 13 l. συνεξέρχομαί σοι. — 14 l. ἔλεγε. — 16 l. σεαυτῷ. — 17 l. καταβαίνω. — 18 l. περιπατῶ. 20 l. κνον. 21 l. ὡς εἰδὼς φό-. — 20 l. γράψαι. — 22 l. ἀσπάζεται.

Fr. Krebs.

P. 7458.

№ 381

Papyrus. H. 8 cm. Br. 8 cm. 2/3 Jahrh. n. Chr. Faijûm.

Ἀφ[ροδίσιος¹] καὶ Ἀπίων εὐσχή-
μονες καὶ παραλῆμπται
συναγοραστικῆς κριθῆς
γ Ἡρακλείδου μερίδος πρεσ-
βυτέροις Σοκνεπαίου (sic) Νήσου
χαίρειν. Ἔσχαμεν παρ' ὑμῶν
τὰς ἐπιμερισθείσας ἡμῖν
ἐπὶ λόγου
κρειθῆς ἀρτάβας δέκα τέσσαρ[ας]
Γ κρειθῆς ∸ ιδ[· · · · · · · · · · · ·]
[· · · · · · · · · ·]εσ· · · · νι·[· · · · · · · · ·]
[· · · · · · · · · · · · · · · ·]α·[· · · · · · · · ·]

Hier bricht der Papyrus ab.

1. Spuren der beiden ι unter der Lücke.

Fr. Krebs.

P. 7071

№ 382

Papyrus. H. 21,5 cm. Br. 8,5 cm. Faijûm.

Ἔτους ιδ Λουκίου Σεπτιμίου
Σεουήρου Εὐσεβοῦς Περτίνακος καὶ
Μάρκου Αὐρηλίου Ἀντωνίνου
Εὐσεβοῦς Σεβαστῶν καὶ Ποπλίου
Σεπτιμίου Γέτα Καίσαρος Σεβαστοῦ
Παχὼν κη. Διέγρ(αψαν) πρεσβ(ύτεροι) κώ(μης) 23 Mai
Καρανίδος διὰ Πετάλου πράκ(τορος) 206
οὐσί(ας) α/ Θε(ωνείνο)υ φό(ρου) πρ]οβ(ατικοῦ) ιδ L n. Chr.
δραχ(μὰς) ἑπτακοσίας / ς ψ ϡ ϑτσ

Verso.

(2H) οὐσ(ίας) συμβ( )
ιδ L

8 u. 9 vgl. № 63, 8. 9. (οξ [illegible] der Pap.)

Fr. Krebs.

P. 8250. № 383

Papyrus. H. 10,5 cm Br: 7,5 cm. Faijûm 2/3 Jahrh. n. Chr.

Τέλος μόσ[χ]ων θυομέν[ων]
ἐν ἱερῷ Σοκ[νοπα]ίου Νήσου
ὑπὸ Σωτᾶς διὰ Πτολεμαίου
πραγματαυτοῦ (sic) ιβ ∫ Παῦνι
νευμείᾳ α¯ 26 Mai.

4 l. πραγματευτοῦ. – 5 l. νεομηνίᾳ.

Fr. Krebs.

P. 7055. № 384

Papyrus. H. 16 cm. Br. 11,5 cm. Faijûm. 2/3 Jahrh. n. Chr.

Ἐπαγαθὼς Κλεοπατρᾶτι τῇ
ἀδελφῇ πλεῖστα χαίρειν.
Πρὸ μὲν πάντων εὔχομαί σοι (sic)
ὑγιαίνειν καὶ τὸ προσκύνημά
σου ποιῶ παρὰ τῷ κυρίωι
Σαράπιδι. Δήλωσόν μοι περὶ
ὧν ἔπεμψά σοι. Ἤθελον καὶ πέμψε
σοί τι ἄλλο, καὶ οὐδεὶς λαμβάνε[ι],
ὅ[πω]ς σοι κομισθῇ. Ἀσπάζομαι
